Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Orphei poetarum vetustissimi Argonautico?n opus Graecu?[m]

https://hdl.handle.net/1874/456676

# ORPHEI

POETARVM VET-VSTISSIMI Argonauticῶn opus Græcū, cū interpretatione Latina incerti autoris, recens addita, & diligētius quàm hactenus emēdata.

APVD INCLYTAM GERMANIAE BASILEAM, ANNO DOMINI M. D. XXIII.

## ARGONAVTARVM NOMINA SECVNDVM ORPHEVM.

Orpheus.
Castor.
Peleus.
Enchion.
Iphiclus.
Phálerus.
Aglaus.
Hercules.
Pollux.
Aethalides.
Actorides.
Butes.
Iphitus.
Areius.
Tiphys.
Mopsus.
Eurytus.
Buphagus.
Canthus.
Leodocus.
Iphidamas.
Erginus.
Polyphemus.
Actorion.
Telamon.
Oileus.
Admetus.
Ancæus.
Amphion.
Calais.
Periclymenus.
Asterion.
Cæneus.
Idas.
Idmon.
Phlias.
Nauplius.
Palæmonius.
Asterius.
Anchisteus.
Meléager.
Eurydamas.
Lynceus.
Menætius.
Cepheus.
Tænarieus.
Augias.
Zetes.
Hylas.
IASON.

## ARGVMENTVM HISTORIAE ARGONAVTICAE.

TYro Salmonei filia peperit ex Neptunno Neleũ & Peliam, deinde nupsit Cretheo Aeoli filio, & peperit ex ipso Aesonem, Pheretum, Amythaonẽ. Ex Aesone generatur Iason, ex Phereto Admetus, ex Amythaone Melampus. Iason uero datus est Chironi nutriendus, à quo didicit ἰατρικὴν, hoc est artem medicam. Aeson pater Iasonis regnum proprio fratri Peliæ reliquit, annuitq; ut Thessaliæ dominaretur, donec à Chirone reuerteretur Iason. Cũ uero Pelias Apollinis oraculũ accepisset, ut caueret monopedilon, hoc est, unũ tantũ calceũ habentẽ: accidit Iasonẽ iã adultum uenire ad fratrem patris, regnũ paternũ repetiturus: dũq; Anaurũ uadari uellet, est hic Thessaliæ fluuius, reperit in ripa Iunonẽ uetulæ assimilatã transire timentem: Iason misericordia ductus, baiulans eã in ulteriorẽ ripã deportauit: in fluuii Anauri trãsitu calceũ reliquit in cœno. Ita adiit urbẽ monopedilos. Iasonẽ in sacrificio publico, altero pede nudo, Pelias aspiciens, oraculi recordatus est, dũq; ipsum tollere de medio cuperet, certamẽ egregiũ proposuit, in Scythiam uidelicet iret, aureũ uellus auferret, scilicet reuersurũ nũquã sperãs. Quò gloriæ cupidus ꝓfectus Iason uictor præter spem reuersus est, & à Medea magicis artibus Pelia perempto, regnũ paternũ recuperauit.

# ΟΡΦΕΩΣ ΑΡΓΟ ΝΑΥΤΙΚΑ.

Ὤναξ πύθωνος μεδέων ἑκατηβόλε μάντι,
ὃς λάχες ἠλιβάτου κορυφῆς παρνασίδα πέτρην,
σὴν ἀρετὴν ὑμνῶ, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις,
πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδήν,
ὄφρα πολυσπερέεσι βροτοῖς λιγύφωνον ἀοιδὴν
ἠπύσω μούσης ἐφετμαῖς, καὶ πηκτίδι πυκνῇ.
νῦν γάρ σοι λυροεργὲ φίλον μέλος ἀείδοντα
θυμὸς ἐποτρύνει λέξαι, τά περ οὔποτε πρόσθεν
ἔφρασ', ὅταν βάκχοιο καὶ ἀπόλλωνος ἄνακτος
κέντρῳ ἐλαυνόμενος, φρικώδεα κῆλ' ἐπίφασκον,
θνητοῖς ἀνθρώποισιν ἄκη, μετὰ δ' ὄργια μύσαις.
ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον ἀνάγκην,
καὶ κρόνον, ὃς ἐλόχευσεν ἀπειρεσίοισιν ὑπ' ὁλκοῖς
αἰθέρα, καὶ διφυῆ περιωπέα κυδρὸν ἔρωτα.
νυκτὸς ἀειγνήτης πατέρα κλυτὸν, ὅν ῥα φάνητα
ὁπλότεροι καλέουσι βροτοί, πρῶτος γὰρ ἐφάνθη,
βριμοῦς τ' εὐδυνάτοιο γονάς, ἠδ' ἔργ' ἀΐδηλα
γιγάντων, οἳ λυγρὸν ἀπ' οὐρανοῦ ἐστάξαντο,
σπέρμα γονῆς τὸ πρόσθεν, ὅθεν γένος ἐξεγένοντο

# ORPHEI ARGONAVTICA.

O Rex & uates Pythonis maxĩe prĩceps
Cuiq; sacra est summum Parnasia petra cacumen,
Virtutē cano Phœbe tuā, tu præmia famæ,
Veridicamq; mihi toto de pectore uocem
Vt teneam dulci mortalia pectora cantu,
Cum iubeant plenis musæ me scribere chartis.
Nam mihi Phœbe pater citharæ pergrata canenti
Carminibus flagrat mens, nondum dicta referre
Tempus adhuc ullis, tunc cum Bacchiq; tuiq;
Percussus stimulis horrentia tela canebam,
Quæq; iuuent homines, & quæ mysteria genti,
Nec non prima chaus antiqui urgentia fata,
Deinde per innumeras Saturni semine uires
Aethera, & excelsum duplex cui robur amorem,
Quiq; frequēs genitæ est noctis pater inclytus, hūc se
Quod prior ostendit nostri dixere Phaneta,
Vnde potens fluctu tellus, & bella Gigantum
Impia, qui in superos aciem struxere nefandam,
Ex ipsis hominum mortalis manat origo

θνητῶν, οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι
θηρείαν τε ζωὸς, ὀρεσσιδρόμου τε λατρείαν
μητρὸς, ἅτ' ἐν κυβέλοις ὄρεσιν μητίσατο κούρην
φερσεφόνην περὶ πατρὸς ἀμαιμακέτου κρονίωνος
μήχου τε καὶ ἑρακλῆος περίφημον ἄμυξιν,
ὄργιά τ' ἰδαίων κορυβάντων τ' ἄπλετον ἰσχύν.
Δήμητρός τε πλάνην, καὶ φερσεφόνης μέγα πένθος,
θεσμοφόρος θ' ὡς ἦν, ἠδ' ἀγλαὰ δῶρα καβείρων,
χρησμούς τ' ἀῤῥήτους νυκτὸς περὶ βάκχου ἄνακτος,
λῆμνον τε ζαθέην, ἠδ' εἰναλίην σαμοθρᾴκην,
αἰπεινήν τε κύπρον, καὶ ἀδωναίην ἀφροδίτην,
ὄργια πραξιδίκης, καὶ ἀρείνης νυκτὸς ἀθήνης,
θρήνους τ' αἰγυπτίων, καὶ ὀσίριδος ἱερὰ χύτλα.
ἀμφὶ δὲ μαντείης ἐδάην πολυπείρονας ὄρμους
θηρῶν οἰωνῶν τε, καὶ ἣ σπλάγχνων θέσις ἐστὶν,
ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς
ψυχαὶ ἐφημερίων, ὕπνῳ βεβολημέναι ἦτορ,
σημείων τεράτων τε λύσεις, ἄστρων τε πορείας,
ἁγνοπόλον τε καθαρμὸν, ἐπιχθονίοις μέγ' ὄνειαρ,
ἱλασμούς τε θεῶν, φθιμένων τ' ἐπινήχυτα δῶρα.
ἄλλα δέ σοι κατέλεξ', ἅπερ εἴσιδον ἠδ' ἐνόησα,
ταίναρον ἡνίκ' ἔβην σκοτίην ὁδὸν, ἄϊδος εἴσω
ἡμετέρῃ πίσυνος κιθάρῃ, δι' ἔρωτ' ἀλόχοιο,
ἠδ' ὅσον αἰγυπτίων ἱερὸν λόγον ἐξελόχευσα,
μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας
ἄπιδος, ἃς πέρι νεῖλος ἀγάῤῥοος ἐστεφάνωται.

Immensæ claudunt quotquot confinia terræ,
Diuinumq́ꝫ Iouis cultum, latriamq́ꝫ parentis
Montanæ Cybeles, quæq́ꝫ illa in montibus olim
Persephonen patriis docuit iam forte puellam,
Herculis & laceri, famosaq́ꝫ uulnera Mæli
Sacra quod Idæis & uis Corybantibus ingens,
Erraritq́ꝫ Ceres, raptæq́ꝫ exinde dolores,
Vtq́ꝫ dedit leges, quam splendida dona Cabirûm,
Quæq́ꝫ canat nullus nocturna oracula Bacchi,
Diuinam Lemnon, & littoream Samothracen,
Sublimemq́ꝫ Cyprũ, Veneremq́ꝫ ut amauit Adonis,
Orgia Praxidices, Arines cum Pallade noctis,
Aegypti luctus, & Osiris dolia sacra,
Quid de uenturis præcordia uisa ferarum,
Et uolucrum doceant, quo ritu uiscera spectes,
Quanta etiam somno captæ pulcherrima rerum
Prædicant animæ uatum de mente profunda,
Et quæ sit signis, monstris, astroq́ꝫ minaci
Casta hominum generi lustrata perutilis unda,
Quæq́ꝫ deos placent, hominumq́ꝫ in funere dona.
Multaq́ꝫ præterea mihi uisa & cognita dixi,
Cum peterem tenebras pallentis Tænaron Orci,
Confisus cithara, chara pro coniuge nostra,
Et cecini qua sacra nitent Aegyptia pompa
Accedens Memphim præclaram, atq́ꝫ Apide terras
Insignes, rapidi Nili quas unda coronat.

πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.
νῦν δ' ἐπεὶ αἰερόφοιτος ἀπέπτατο δήιος οἶστρος,
ἡμέτερον δέμας ἐκπρολιπὼν, εἰς οὐρανὸν εὐρὺν,
πεύσῃ ἀφ' ἡμετέρης γλώσσης, ἃ πρὶν ἔκευθον.
ὥς ποτε πιερίην, λειβήθρων τ' ἄκρα κάρηνα

λισσόμενός μ' ἐπίκουρον ἑοῦ νόστοιο γενέσθαι,
πόντου πόρον σὺν νηὶ πρὸς ἄξενα φῦλ' ἀνθρώπων,
ἔθνος ἐς ἀφνειὸν καὶ ἀτάσθαλον, ὧν ἐνὶ κραίνειν
αἰήτης, υἱὸς φαεσιμβρότου ἠελίοιο.
θέσφατα γὰρ πελίας δειδίσκετο, μή οἱ ὄπισθεν
χερὸς ἐπ' αἰσονίδα καθέλῃ βασιλήιον ἀρχήν.
καί οἱ ὑπὸ πραπίδεσσι δόλου τρίβον ἠπερόπευε.
τάσσε γὰρ ἐκ κόλχων, χρύσειον κῶας ἐνεῖκαι
θεσσαλίην εὔπωλον. ὁ δ' ὡς κλύεν ἔννομον αὐδήν,
χεῖρας ἐπαντείνας, ἐπεκέκλετο πότνιαν ἥρην,
τήν δέ γ' ἐκ μακάρων περιώσια κυδαίνεσκεν,
ἠδὲ παρ' εὐχωλῇσιν ἐφέσπετο κηδομένη περ,
ἔξοχα γὰρ μερόπων ἠγάζετο, καὶ φιλέεσκεν
δεινοβίην ἥρωα περικλυτὸν αἴσονος υἷα,
καί ῥα καλεσσαμένη ἐπετέλλετο τριτογενείῃ
καί οἱ φηγινέην πρῶτον τεκτῆναι νῆα
ἣ καὶ ὑπ' εἰλατίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη
πρώτη ὑπεξεπέρησε. τρίβους δ' ἤνυσε θαλάσσης.
ἀλλ' ὅτε δὴ συνάγειρεν ἀγακλειτοὺς βασιλῆας,
θρήκην εἰς εὔπωλον ἐπείγετο δῖος ἰήσων.

Vera tibi noſtro cuncta hæc de pectore manant.
Nunc quoniam flagrans in nobis euolat œſtrum,
Corpoream linquens molem, ſuper æthera longe
Non audita prius noſtro de carmine diſces,
Pieriam ut quondam, Libethraq́ꝫ uenit ad alta
Semideûm, pariterq́ꝫ Heroum primus Iaſon,
Et ſibi pro reditu rogat auxiliator ut irem,
Puppe ſecans altum, crudelia regna petenti
Diuitiis gentem ſcelerum quoque mole grauatam,
Sole quibus genitus Aeætes regnat in oris:
Nam timuit Pelias præſagia, ne ſibi regni
Auferat Aeſonides uenturis ſceptra diebus.
Fraudibus inde uias fallaci corde ſtruebat,
Vellera de Colchis nam iuſſerat aurea ferri
Theſſaliam ad pinguem. ſed uox ut perculit aures
Impia, Iunonem manibus uocat ille leuatis,
Hanc colere è cunctis ſolitus cœleſtibus unam.
Illa fauens iuſtis precibus, pia uota ſecuta eſt,
Nanque hominum magis unus erat dilectus ab illa
Heroum intrepidus ſuper inclytus Aeſone natus.
Cogitur hinc ad opus Pallas Iunone uocante.
At dea fagineam celeri ſtruit ordine puppim,
Remigioq́ꝫ aptat, ſalſum quæ prima profundum
Præterit, & pleno tenuit ſua littora curſu.
Ergo ubi magnanimos reges collegit Iaſon
Impiger ad Thracen celerat ueſtigia noſtram.

καί μ' ἐκίχανε κιθάρην πολυδαίδαλον ἐντύνοντα,
ὄφρα κέ τοι μέλπων προχέω μελίγηρυν ἀοιδήν,
κηλήσω δέ τε θῆρας, ἠδ' ἑρπετὰ καὶ πετεηνά.
ἡνίκα δ' εἰς ἄντρον πολυήρατον εἰσεπέρησε,
μείλιχον ἐκ λασίων στέρνων ἀνενείκατο φωνήν.

Ορφεῦ καλλιόπης τε καὶ οἰάγρου φίλε κοῦρε,
Βιστονίῃ κικόνεσσι πολυρρήνοισιν ἀνάσσων.
καί ῥ' ἐπεὶ αἱμονίους ὄχθας πρώτιστον ἱκάνω,
στρυμονίους τε ῥοὰς ῥοδόπης τ' αἰπεινὰ πρὸς ἄγκη.
εἰμὶ δ' ἐγὼ μινύεσσι πανέξοχον αἷμα λελογχώς,
θεσσαλὸς αἰσονίδης, ξεῖνος δέ σοι εὔχομαι εἶναι.
ἀλλὰ φίλος πρόφρων μ' ὑποδέχνυσο, καὶ κλύε μῦθον
μειλιχίαις ἀκοαῖς, καὶ λισσομένῳ ὑπάκουσον.

ἀξείνου πόντοιο μυχοὺς καὶ φᾶσιν ἐρυμνὸν
νηὶ σὺν ἀργῴῃ πελάσαι, δεῖξαί τε θαλάσσης
παρθενίης ἀταρπούς, ἐπιήρατον ἡρώεσσιν,
οἵ ῥα τεὴν μίμνουσι χέλυν καὶ θέσκελον ὀμφήν,
ἐλπόμενοι ξυνὸν πελάγει ἐπαρηγόνα μόχθων.
οὐ γὰρ δὴ πλῶσαι πρὸς βάρβαρα φῦλα μέδονται
νόσφι σέθεν. καὶ γάρ ῥα ποτὶ ζόφον ἠερόεντα
νείατον εἰς κευθμῶνα λιτῆς εἰς πυθμένα γαίης,
μοῦνον ἀπ' ἀνθρώπων πελάσαι καὶ νόστον ἀνεῦρες.
ὧν ἕνεκεν ξυνήν τε δύην μινύαισιν ἀρέσθαι.
τὸν μὲν ἐγὼ μύθοισιν ἀμειβόμενος προσέειπον.

αἰσονίδη, τί με ταῦτα παραιφάμενος ἐρεείνεις,

Illic me cithara sinuantem plectra canora
Inuenit, ut sacros facerem tibi Delphice cantus,
Qua traherem uolucres, serpentes uoce, ferasq;.
Sed postquam gressus optato fixit in antro,
Protulit è calido mellitam pectore uocem.
Orpheu Calliopes Oeagro nate parente,
Atque in Bistonia Ciconum rex optime salue,
Tu nanq; Hæmonias princeps das iura per Alpes,
Strimoniasq; undas, Rhodopesq; cacumina sūma.
Ipse ego sum Minyes regali sanguine cretus
Thessalus Aesonides, hospes tibi certus habendus.
At tu quæso faue cœptis, & percipe grato
Quæ loquar auditu, nec inexorabilis esto.
Euxini pontiq; sinus, & phasida tutum
Te petere, & monstrare maris, quò nauiget Argo
Indomitis littus uotum est Heroibus unum,
Expectatur ab his tua uox diuina, chelisq;
Quem sperant comitem pelago, sociumq; laborū.
Nam neq; mens dare uela uiris in barbara regna
Te sine, qui tenebras de tot mortalibus unus
Accesti horrentes, & quæ rudis ultima rerum
Abdita seposuit tellus, atque inde redisti,
Hanc igitur molem communis ferre laboris,
Nominaq; ipsa uelis tua clara nepotibus esse.
Inde ego sum tali respondens uoce locutus.
Aesonida, quid tanta mouens hortaris & urges

ὄφρα κεν ἐς κόλχους μινύαις ἐπιήρανος ἔλθω
νηὶ σὺν εὐσέλμῳ, πλεύσας ἐπὶ οἴνοπα πόντον.
ἤδη γάρ μοι ἅλις καμάτων, ἅλις ἔπλετο μόχθων,
ὧν ἱκόμην ἐπὶ γαῖαν ἀπείριτον ἠδὲ πόληας,
αἰγύπτῳ λιβύῃ τε, βροτοῖς ἀναθέσφατα φαίνων.
καί με ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε
μήτηρ ἡμετέρη, καὶ ῥ' εἰς δόμον ἤγαγεν ἄλλον,
ὄφρα τέλος θανάτοιο κίχω μετὰ γήραϊ λυγρῷ.
ἀλλ' οὐκ ἔσθ' ὑπαλύξαι ἃ δὴ πεπρωμένα κεῖται,
μοιρῶν ξυνεσίῃσιν ἐπείγομαι, οὐ γὰρ ἄλιμοι
ἱκεσίου ζηνὸς κοῦραι λιταί, ἵξομαι ἤδη
ὁπλοτέροις βασιλεῦσι καὶ ἡμιθέοις ἐνάριθμος.
καὶ τότε δὴ λίπον ἄντρον ἐπήρατον, ἡ δ' ἐπέβησα
αὐτῇ σὺν φόρμιγγι, καὶ εἰς μινύας ἀφίκανον
λαιψηροῖσι πόδεσσιν, ὑπὲρ παγασηίδας ἀκτάς.
ἔνθα δ' ἀριστήων μινύων λόχος ἠγερέθοντο
στεινὸν δὴ ψαμάθου ὁμάδῳ, ἐκγυμνά τ' ἀναύρου.
ἀλλ' ὅτε δή μ' ἐνόησαν ἀταρπιτὸν ἐξανύοντα
ἀσπασίως ἤγερθεν, ἐγήθεε δ' ἦτορ ἑκάστου.
αὐτὰρ ἐμυθεόμην ἐρεείνων ἄνδρας ἀρίστους.
πρῶτα μὲν εἶδα βίην ἡρακλῆος θείοιο
ὃν τέκεν ἀλκμήνη, ζηνὶ κρονίωνι μιγεῖσα
ἦμος ὅτε τριασὴν μὲν ἐλείπετο σείριος αἴγλην
ἠέλιος. δολιχὴ δ' ἐπεμαίετο πάντοθεν ὄρφνη
τῖφυν τ' ἀγνιάδην δολιχῆς ἰθύντορα νηός,
θεσπιέων δ' ὅγε τῆμος ἐφ' ὕδασι περμισσοῖο

Ire

Ire procellosas armata puppe per undas,
Vt ueniam Colchon Minyis adiutor ad urbem.
At mihi iam satis est operum, satis atque laborum,
Ex quo terrarum uidi loca plurima & urbes
Aegypti, Libyesq; uiris oracula promens,
Et me sollicito tandem reuocauit ab æstu
Errantem, in patriamq; parens ueneranda reduxit:
Vt teneam tardos morientis tempore canos.
Sed neque fatales fas est mihi soluere leges:
Parcarum me iussa trahunt, magno mihi constent
Per numerum quæsita Iouis, iam iamq; sequemur,
Inter & Heroas nostri numerabimur æui.
Tunc quoq; digrediens antrum peramabile liqui,
Dulcisona comitante lyra, Minyasq; secutus,
Alatis pedibus pagasarum ad littora ueni.
Hic tum bellaces angusto in littore Graii
Cum fremitu ad ripas condensabantur Anauri.
Atq; ubi iam gressus spectant me ferre propinquos
Exultant animis, & gaudia plurima carpunt.
Ipse super tantis quærens Heroibus ibam,
Herculis ac primum conspexi fortia diui
Pectora, quem peperit de magno Alcmena tonāte,
Liquissent triduum solis cum lumina terras,
Torpentisq; forent gratissima tempora noctis,
Tiphynq; Agniaden longe qui lintea puppis
Dirigeret, tunc se exercens confinia iuxta

ἀγχοῦρος λαοῖσι φαεαῖς ἐξέφθεον ἄμειβεν,
ὃς περὶ μὲν βύκταισι καὶ ἀργέστεσιν ἀέλλαις,
νῆα κατιθύνειν δέδαεν πολυμήτιδι τέχνῃ.
κάστορά θ' ἱππόδαμον πολυδεύκεά τ' εἰσενόησα,
καὶ μόψον τιταρῆθεν, ὃν ἄμπυκι νυμφευθεῖσα
χαονίην ὑπὸ φηγὸν ἀρηγονὶς ἐξελόχευσε.
πηλέα τ' αἰακίδην, αἰγίνης ἀγλαὸν υἱόν,
ὃς δολόπεσσιν ἄνασσεν ἐνὶ φθίῃ ἐριβώλῳ.
ἐριωπὴν δ' ἑρμείαο κλυτὴν εἰσέδρακα γονήν,
αἰθαλίδην, ὃν ἔτικτε περικλυτὴ εὐπολέμεια,
μυρμιδόνος θυγάτηρ ἀλόπῃ ἐνὶ πετρηέσσῃ.
ἠδ' ἔρυτον καὶ καλὸν ἐχίονα, τοὺς ποτε νύμφη
λαοθόη μερετοῖο παρευνηθεὶς ἐλόχευσε
κυλλήνης μεδέων χρυσόρραπις ἀργειφόντης.
αὐτίκα δ' ἀκτορίδης καὶ βουφάγος ἦλθε κόρωνος,
ἴφικλος αὖ φυλάκου δῖον γένος ἀντετόρησε.
βούτης τ' αἰνειάδης, ἴκελος χρυσάορι φοίβῳ.
κάνθος δ' εὐβοίηθεν ἀβαντιάδης ἐπέρησεν,
ὃν δὴ μοῖρ' ἐδάμασσε, τέλος δ' ἐπέθηκεν ἀνάγκη,
φθίσθαι ὑπὲρ λιβύης, νόστον δ' οἴκοιο λαθέσθαι.
ἄλκωνος δὲ φάληρος ἀπ' αἰσήποιο ῥοάων
ἤλυθεν, ὃς γύρτωνος ἁλιστεφὲς ἔκτισεν ἄστυ.
ἴφιτος αὖ μετὰ τοῖσιν ἐφέσπετο ναβόλου υἱός,
φωκίδος ὃς ῥ' ἤνασσε καὶ εὐπύργοιο τανάγρης,
λαοδόκος ταλαός τε καὶ ἀρήιος, οἳ ἄμωμοι,
ἦλθον ἀβαντιάδαι περιώνυμοι, οὓς τέκε πηρώ.

Thespiaca, & pelago, & Telmisi nauigat undis.
Is fuit horrisonis, sæuisq; obstare procellis
Doctus, & ad tutos Argò perducere portus.
Pollucem atq; equitum domitorem Castora noui,
Et te Mopse adii Titaresie, splendida cultu
Chaoniam pèperit quem subter Aregonis alnum.
Præterea Aeaciden illustrem Pelea partu
Aegines Dolopum, Phthia qui regnat in urbe,
Mercurii generosa patris tria pignora uidi
Aethaliden, sibi quem genitrix tulit Eupolemia
Myrmidonis saxosæ Alopes in montibus urbis,
Euriton, egregiumq; Enchiona, quos sibi quondã
Laothoë Mereti genuit commista puella
Mercurii soboles Cyllenia regna tenentis.
Tu simul Actoride, Tu Buphage nate Corono,
Iphiclus & Phylaci diuum genus affuit uná.
Tuq; etiam Aeneade, Phœboq; simillime Butes.
Transit Abantiades Euripi littora Canthus,
Quem Parcæ domuere graues, Libyesq; per arua
Immemorem reditus mors intempesta peremit.
Venit & Alconis Aesepo abs amne Phalerus,
Gyrtonem ualidis muris qui condidit urbem.
Iphitus hos sequitur de te patre Nabole natus
Phocensis retinens turritæ sceptra Tanagres.
Laodocusq; Alausq;, & Areius inclyta proles
De Pero geniti, & præclari germen Abantis,

Ἰφιδάμας δ' Ἀλέου παῖς ἤλυθε. πέμψε γὰρ αὐτὸν
ἴφθιμος γενέτης, Τεγέης ὄρια προλιπόντα.
ἤλυθε δ' Ἐργῖνος Βράγχου πολύπυρον ἄρουραν
ἐκπρολιπών, καὶ τύρσιν ἐρεμνῆς Μιλήτοιο,
ἔνθα ῥοαὶ κλύζουσι πολυπλανέος Μαιάνδρου.
ἐν δὲ Περικλύμενος Νηλήϊος εἰσαφίκανεν,
ἀγχόθι Πελλήνης τε καὶ εὐύδροιο λιπέζου,
ἄστυ λιπὼν ἀφνειὸν ὀρφονόμους τε κολώνας.
ἐκ δὲ λιπὼν Καλυδῶνα θοὸς Μελέαγρος ἔβαινεν.
Οἰνεὺς τὸν ῥ' ἐλόχευσε καὶ Ἀλθαίη ῥοδόπηχυς.
Ἴφικλος αὖτ' ἐπέρησε λιπὼν ἀξακκίδα λέμνην,
σύγγονος Ἀλθαίης, περὶ δ' αὖ τίεν ἔξοχα πάντων,
εὐειδῆ Μελέαγρον, ἰδ' ἀγλαὰ ἔργ' ἐδίδασκεν.
Ἀστερίων δ' ἐπέρησε πάϊς κλεινοῖο Κομήτου,
Πειρεσίην ὃς ἔναιεν ἐπ' Ἀπιδανοῖο ῥεέθροις,
Πηνειὸς μίσγων ξανθὸν ῥόον εἰς ἅλα πέμπει.
Εὐρυδάμας δ' ἐπόρευσε λιπὼν Βοιβηΐδα λίμνην,
ἀγχόθι Πηνειοῖο καὶ εὐλάγεος Μελιβοίης.
Αὐτὰρ ἔπειτ' Ἐλάτοιο πάϊς πολύφημος ἵκανεν,
ὅσφιν ἐν ἠνορέῃσι μετέπρεπεν ἡρώεσσιν,
ἠνειὸς καινῆος ἀφίκετο, τὸν ῥά τε φασὶ
μισγόμενον Λαπίθαις ὑπὸ Κενταύροισι δαμῆναι,
θεινόμενον πεύκασι τανυφλοίοις τ' ἐλάτησι,
καὶ οἱ ἀνατλῆναι καὶ ἀκαμπέα γοῦνα τ' ἐρεῖσαι,
ζωὸν τ' ἐν φθιμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης.
Ἄδμητος δ' ἀφίκανε Φεραιόθεν, ᾧ ποτε παιὰν

Iphidamasq;

Iphidamasq; Alei uenit, nam iussa parentis
Magnanimi urgebant, Tegees tellure relicta.
Venit & Erginus Branchi, cultissima linquens
Et patriam celsis cum mœnibus arua Mileti,
Mæandri in sese quæ uerberat unda recurrens.
Deinde Periclymenus Nelides affuit unà
Pellenen iuxta linquens, madidamq; Lipezon,
Asty suum diues, positasq; in monte colonas.
Tu Calidone uenis fortis Meleagre relicta,
Quem tulit in roseis Altheæ amplexibus Oeneus.
Iphiclus alta secans Atracesia stagna reliquit,
Altheæ qui frater erat, præq; omnibus uni
Intentus Meleagre tibi laudanda monebat.
Transit & Asterion genitus de patre Comete,
Piresien linquens, ubi mistus Apidanus undis
Penei fluctus communes mittit in æquor.
Liquit & Eurydamas properans Bœbeidos algam
Peneo illapsæ Melibœæ mœnia iuxta.
At postquã Elatides Polyphemus prosilit ingẽs
Viribus, heroasq; inter ceu flamma refulgens
Eneus uenit, Cænei quem fama rapacis
Vrgentem Lapithas Centaurica tela tulisse
Transfixum trabibus abiegnis corpora longis,
Sustinuisse tamen genua incuruata furentem,
Et uiuum manes, tenebrasq; Acherontis adisse.
Venit & ipse Pheris Admetus Apolline quondam

θνητῶν ὑπόοικε, Διός δ' ἠλεύατο μῆνιν.
οὕνεκά τοι κύκλωπας ἀμαιμακέτοισιν ὀϊστοῖς,
ἐν φθιτοῖσιν ἔτευξ' ἀσκληπιοῖο εἵνεκα λώβης.
ἤλυθε δ' ἀκτορίων ἴλου παῖς ἀκτορίωνος,
τρηχείην ὀπόεντα λιπών, σὺν δ' ἤλυθεν ἴδας.
λυγκεύς τε, ὃς τήλιστα δι' αἰθέρος ἠδὲ θαλάσσης
βένθεα, καὶ πλουτῆος ὑποχθονίοιο βέρεθρα,
μοῦνος ἀπ' ἀνθρώπων δεινοῖσιν ὀπώπεεν ὄσσοις.
Αὐτὰρ ἐπεὶ τελαμὼν συνεφέσπετο, τόν ῥ' ἐλόχευσεν
αἰακῷ ἀξύπτω κούρη κλυτοῦ ἀσωποῖο
αἴγιν, ἐν κροκάλῃσιν ἁλιστεφέος σαλαμῖνος,
δὴ τότ' ἄβαντος παῖς νόθος ἤλυθε καρτερὸς ἴδμων
τόν ῥ' ὑποκυσαμένη τέκεν ἀπόλλωνι ἄνακτι,
ἀμβρόσιον παρὰ χεῦμα φερητιὰς ἀντιάνειρα.
τῷ καὶ μαντοσύνην ἔπορε καὶ θέσφατον ὀμφὴν
φοῖβος, ἵν' ἀνθρώποισιν ἀρηρότα μυθίζοιτο.
ἤλυθε δ' αὖ μετὰ τοῖσι μενοίτιος ἐξ ὀπόεντος.
σύγχορτος μινύαις. ἐπὶ δ' ἤλυθε δῖος ὀϊλεύς.
φλίας δ' ἐξίκανε περικλυτὸς, ὅν ποτε βάκχῳ
νύμφη ὑποκλινθεῖσα παρ' αἰσήποιο ῥοῇσι
τίκτεν ἄμωμον ἔχοντα δέμας καὶ ἐπίφρονα μῆτιν.
κηφεύς τ' ἀρκαδίηθε μεθ' ἡρώεσσι πελάσθη,
ἀγκαῖον δ' ἂμ ὅμιλον ἀπ' ἀρκαδίης πολυμήλου
πέμψε πατὴρ γηραιὸς ἐπὶ πλόον ἀξείνοιο.
οὗτος δ' οὔποτε χλαῖναν ἐπὶ στιβαροῖς βάλεν ὤμοις.
ἀλλ' ἄρκτου λάσιον στέρνοις ἀμπίσχετο δέρμα.

Perfunctus seruo, patrias dum diffugit iras.
Nanque ille indomitis cyclopas morte sagittis
Pro nato impatiens affecerat ante perempto.
Actorionq; Ili, qui filius Actorionis,
Saxosam linquens Opoënta. accessit & Idas.
Quiq; procul lõge trãs æthera, trans mare Lynceus
Et subter Plutum, terræq; barathra profundæ
Solus in humanis uisu penetrauit acuto.
Consequitur Telamon, fortis pater Aeacus illi,
Splendida cui nubens Aegina potentis Asopi
Nata dedit pulchrum Salaminæ in littore partum.
Martius his Idmon nothus annumeratur Abantis,
Quem de concubitu generauit Apollinis olim
Circum diuinos animosa Pheretia fluctus.
Huic præscire dedit, huic promere uoce futura
Phœbus, ut utiliter genti memoranda loquatur.
Affuit & linquens Opoënta Menœtius agrum.
Vicinus Minyis uenit quoq; diuus Oileus.
Inclytus his aderat Phlœas, quem propter amœni
Aesapi ripas Baccho est enixa puella
Insignem forma, & prudenti pectore clarum.
Cepheus Arcadia concessit & ipse relicta,
Ancæusq; senex Euxini ad littora ponti
Iussit ab Arcadia pater unà Heroibus ire
Hic humeris nullos ualidis induxit amictus
Sed rigidum pellis latus urso texit adempta.

ναύπλιος αὖθ' ἵκανεν ἀμυμώνης φίλος υἱός,
ὃν τέκεν εὐνηθεῖσα περικλυτῷ ἐννοσιγαίῳ,
ἀγλαὸν ἠνορέην δέμας ἴκελον ἀθανάτοισι.
ταιναριεύς δ' εὔφημος ἔβη μελεάδος ἄκρης
ἐκπρολιπὼν αὐλῶνας, ἁλικλύστους τὲ θεράπνας.
ἀγκαῖος τ' ἔμολε πλευρώνιος, ὃς ῥα πορείας
οὐρανίας ἄστρων ἐδάη κύκλους τε πλανήτας,
δίζετο γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν.
τῷ δὲ παλαιμόνιος λέρνου νόθος ἤλυθεν υἱός,
σίνετο δὲ σφυρὰ δισσὰ πόδας δ' οὐκ ἦεν ἀρηρώς,
τοὔνεκεν ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες.
ἤλυθε δ' ἀλφειοῖο λιπὼν πισιδάδας ὄχθας
αὐγείης υἱὸς περιφεγγέος ἠελίοιο.
καὶ μὴν καὶ δισσοὶ ὄρπηκες ἀμύμονες ἦκον.
ἀμφίων κλυτόφημος, ἰδ' ἀστέριος μενεχάρμης
πελλήνην προλιπόντ' ἰδ' ἤθεα πατρίδος αἴης.
δισσὸν δ' αὖ βορέου καλὸν στάχυν εἰσενόησα,
οὓς τέκ' ἐρεχθῆος θείου κλυτὴ ὠρείθυια
εἰλισσοῦ παρὰ χεῦμα θεοῦ φιλότητι μιγεῖσα,
οἳ δὴ καὶ ταρσοῖσιν ὑπὸ οὐατίοις πεπότηντο,
ζήτης καὶ κάλαϊς, δέμας ἴκελοι ἀθανάτοισιν.
Αὐτὰρ δὴ πελίαο φεραιόθεν ἤλυθ' ἄνακτος
ἀγχιστεύς. υἱὸς γὰρ ἐπὶ ἀργώας γεγένητο
ἄξεινον ποτὶ φάσιν ἅμ' ἡρώεσσιν ἐλάσσαι.
σὺν δέ οἱ ἦλθ' ἑτάρος ἡρακλέεος θείοιο,
καλὸς ὕλας, τὸν δ' οὔπω ὑπὲρ δροσεροῖο γενείου

Nauplius insequitur Amymones cara propago,
Quem tulit illustri Neptunno subdita pulchro
Corpore dis similem, & præstanti robore clarum.
Vertice Tænareo uenit Meleatidos alto,
Aulonas linquens simul, undisonasq; Therapnas.
Venit & Ancæus cui cyclos cuiq; planetas
Nosse datũ, & summis quod iter Pleuronius astris,
Vnde quod & præsens, & quæ uentura canebat.
Deinde Palæmonius Lerni nothus, utraq; uenit
Læsus crura licet, pedibusq; nec ambulat æquis,
Vulcanoq; ideo genitum de patre uocabant.
Venit & Alphei ripis, Pisisq; relictis
Patre satus magno Augeas de sole corusco,
Quinetiam gemini fortissima pectora rami
Amphion simul, Asterius Pellene relicta
Cultibus & patriis alacres in prælia fratres.
Agnoui duplicem Boreæ de germine spicam,
Quos peperit nubens Ilissi ad fluminis undam,
Regis Erechthei diuum genus Orithyia,
Quiq; etiam plumis circum talaria fusis
Corpore dis similis Zetes, Calaisq; uolabant.
Venit ab urbe Pheris Pelia quoq; principe natus
Anchisteus, præcelsa duci cui pareat Argo,
Euxinum & Phasin Minya ut cum remige poscat,
His simul accessit dilectus ab Hercule diuo
Pulcher Hylas, nondum cui circuntinxerat ora

ἀργεννῆς ἐρύθην παρηΐδος ἁβρὸς ἴουλος.
ἀλλ' ἔτ' ἄκουρος ἔην, πολὺ δ' ἤνδανεν ἡρακλῆϊ.
οἳ μὲν ποτὶ νῆα, καὶ ἐς λόχον ἠγερέθοντο.
καί ῥά οἱ ἄλλοθεν ἄλλος ἐφέκλετ', ἠδ' ἀγόρευε
δαῖτα δ' ἐπορσαίνοντο πολυξείνοιο τραπέζης.
Αὐτὰρ ἐπεὶ σίτοιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός,
ἥμενοι ἑξείης πόθεον μέγα ἔργον ἕκαστος.
ἀνστάντες δ' ἅμα πάντες ἀπὸ ψαμάθοιο βαθείης,
ἤιον ἔνθα τ' ἔμιμνεν ὑπὲρ ψαμάθου ἁλίη ναῦς.
τὴν ῥά ποτ' εἰσορόωντες ἐθάμβεον, αὐτὰρ ἔπειτα
ἄργος ἐφημοσύνῃσι νόου πόρσυνεν ὀχλίζειν,
λαυρατέῃσι φάλαγξι, καὶ εὐστρέπτοισι κάλωσι,
πρυμνόθεν ἀρτήσας. κάλεεν δ' ἐπὶ μόχθον ἱκάνειν
πάντας κυδαίνων, οἱ δ' ἐσσυμένως ὑπάκουσαν,
τεύχεα δ' ἐκδύοντο περὶ στέρνοισι δ' ἀνῆπτον
σειραίην μήρινθον. ἐπέβριθεν δ' ἕκαστος,
αἶψα θοὸν ποτὶ κῦμα κατειρύσσαι εὔλαλον ἀργώ.
ἡ δέ οἱ ἐγχριφθεῖσα ποτὶ ψαμάθῳ βεβάρηντο,
αὐαλέοις φυκίεσσιν ἐρυκομένη ποτὶ χέρσῳ.
ἡρώων παλάμῃσιν ὑπὸ στιβαρῇσιν ἀπειθής.
ταχυνώθη δ' αὖ θυμὸς ἰάσονος. αὐτὰρ ἔμοιγε
νεῦσεν ὀπιπεύων ἵνα οἱ θάρσος τε βίην τε,
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηκόσιν αὖθις ὀρίνω.
Αὐτὰρ ἐγὼ φόρμιγγα ἐπηνάμενος μετὰ χερσὶ,
μητρὸς ἐμῆς ἐκέρασσ' εὐπρεπέα κόσμον ἀοιδῆς,
καί οἱ ἀπὸ στηθέων ὄπα χείριον ἐξελόχευσα,

Candida flauescens rosei lanugo decoris,
Amphitryoniadæ intonsus sic ille placebat.
Sic illi ad puppim, sic in sermone frequentes
Circum aderant, aliusq; aliud clamore iubebat,
Prandiaq; haud parci præbebant hospite mensa.
Sed postquàm sat cuiq; fuit potusq;, cibiq;,
Ordine quisq; sedens, ad opus iam uota ferebat.
Hinc sese ex alta consurgens quisquis harena
Adstantem glomerant spatioso in littore nauem,
Certatimq; stupent omnes, sed protinus Argus
Subnectens ualidos alta de puppe rudentes
Artis ope, & trabibus subter conuexa dolatis
Rostra mouere parat, uocat atq; hortatur honorans
Infessi ut subeant, studiosos occupat ardor,
Arma quoq; exuti prolixum pectora circum
Succincti funem, supremis uiribus instant,
Et statim ad fluctus strident, propellitur Argö,
Illa sed exiliens nudas dum calcat harenas
Terram inter fluctusq;, in sicca restitit alga.
Nec forti heroum dextra impellente mouetur.
Obriguit gelido tum rursus pectore Iason,
Et me respiciens, ut nostri carmine plectri
Vires atq; animos defessis innuit addam.
Ast ego cum cithara meditatus carmina nostra,
Mellifluasq; mea resonans cum matre camœnas,
Ex imo dulces produxi pectore uoces.

ἔξοχον ἡρώων μινυήϊον αἷμα γενέθλης,
εἰδ' ἄγε, νῦν στερροῖσιν ὑπὸ στέρνοισι κάλωας,
βρίσαθ' ὁμορροθέοντες, ἐρείσατε δ' ἴχνια γαίῃ,
ταρσοῖσι ποδὸς ἄκρον ὑποβλήδην τανύσαντες,
καὶ χαροπὴν ποτὶ χεῦμα γεγηθότες ἕλξατε νῆα
ἀργὼ πεύκῃσιν τ' ἰδὲ δρυσὶν γομφωθεῖσαν,
αἶεν ἐμῆς σὺν ὀπῆς, καὶ γὰρ πάρος ἔκλυες ἤδη.
ἡνίκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ.
πέτρας τ' ἠλιβάτους. καί μοι κατὰ πόντον ἔβαινες
οὔρεα προλιποῦσα. ἐπίσπεο δ' αὖτε θαλάσσης
παρθενίης ἀταρπούς. ἀπέρχου δ' ἐπὶ πᾶσιν ἀμείβειν
ἡμετέρῃ πίσυνος κιθάρῃ, καθεσκέλῳ ὀμφῇ.
Δὴ τότ' ἐπιβρομέουσαν μαγιὰς ἔκλυε φηγός.
ἥν οἱ ὑποτροπίην ἄργος θέτο νηῒ μελαίνῃ.
παλλάδος ἐννεσίῃσιν. ἀνηέρθη μάλ' ὦκα,
Δοῦρα τ' ἐλαφρίζουσα θοὴ δ' ὠλίσθανε πόντῳ.
καί οἱ ἐπειγομένη θαμινὰς ἐκέδασσε φάλαγγας.
αἵ οἱ ὑποβρόπι κεῖντο μιᾶς χοινοῖο ταθεῖσαι.
ἐν δ' ἄρ' ἔβη λιμένος χαροπὴν δ' ἀνεχάσσατο κῦμα.
θῖνες δ' ἀμφέκλυσθεν. ἐγήθει δὲ φρένας ἰήσων,
ἆλτο δ' ἔσω νεὸς ἄργος, ἐφέσπετο δ' ἀγχόθι τῖφυς.
καί οἱ ἐπ' ἄρτια θῆκαν ἀκηρότα πορσώοντες.
ἱστόν τ' ἠδ' ὀθόνας. ἐπὶ δ' αὖ τ' οἴηκας ἔδησαν.
πρυμνόθεν ἀρτήσαντες ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
Αὐτὰρ ἐπεί τ' ἐκάπερθεν ἐρετμοὺς ἠπλώσαντο.
εἰς βάθρα δ' ἐκέλευον ἐπειγομένους μινύας.

Egregii

Egregii Heroës Minyæ generosa propago
Eia agite inuictis alacres impellite funes
Pectoribus, solido & uestigia figite gressu
Summa pedum geminis innixi extendite plantis,
Et læti in fluctus Argò proferte serenos,
Quæ trabibus quernis compacta est, phagineisq;.
Pergite uoce mea, prius est ea cognita uobis
Cum traherem quercus nemorosa in ualle Colones.
Et pontum peterent cantus de uertice montis
Saxa secuta meos. sic tu procliuis in undas
Me sequere æquoreas, moueat fiducia nostræ
Vt properes citharæ, uox & diuina canentis.
Nec mora prosiluit stridens, sensitq; carinæ
Subdita concussæ callenti phagus ab Argo
Palladias artes. stetit ocyus illa per undas,
Congeriemq; leuat, uasto natat ardua ponto
Et trabium densas disiecit mota phalanges,
Vno protensæ subter quæ fune iacebant.
Ingreditur portum gaudens, iam littore cedit
Vnda repercusso, lætusq; exultat Iason.
Argus init saltu puppim, Tiphysq; secutus
Et sua quæq; uiris dant armamenta locisq;.
Erigitur malus uelum super, hinc quoq; clauum
Sub puppim nectunt, & loris fortiter urgent.
At postquàm remis instructa est nauis utrinq;
Accelerare iubent, Minyasq; insidere transtris,

τοῖσι δ' Αἰσονίδης ἔπεα πτερόεντα προσηύδα·
κέκλυτέ μευ βασιλῆες ἀμύμονες, οὐ γὰρ ἔμοιγε
ἀνδάνει ἐν πραπίδεσσιν, ἀρειοτέροισιν ἀνάσσειν.
ὑμεῖς δ' ὅντιν' ἄρα κραδίη θυμός τε μενοινᾷ,
ἡγεμόνα στήσασθε, καὶ ᾧ περὶ πάντα μελήσει,
σημαίνειν ὅττι κεν ῥέξαι ἔπος ἠδὲ καὶ ἔργον,
πόντον ἐπιπλώουσιν ἀφιξομένοις τ' ἐπὶ γαῖαν,
εἴτε καὶ ἐς κόλχους, καὶ ἐς ἀλλοδαποὺς ἀνθρώπους.
καὶ γὰρ δὴ μοῦνοι σὺν ἐμοὶ πολέες τε καὶ ἐσθλοί,
οἵ ῥα καὶ ἀθανάτου ῥίζης γένος εὐχετάασθε,
ξυνὸν ἀκρείψασθε πόνων κλέος ὄφρ' ἂν ἄρησθε.
ἀλλ' οὐ δὴ κάρτιστον ἀρειότερόν τε γενέσθαι
ἡρακλῆος ἄνακτος ὀίομαι, ἴστε καὶ αὐτοί.
Ὡς ἔφαθ'. οἱ δ' ἄρα πάντες ἐπῄνεον, ἐν δ' ἄρα φωνῇ
λαὸς ἐπερρόθεεν, μινύαις ἐπικοίρανον εἶναι
ἀλκείδην, ὃς πᾶσι μέγ' ἔξοχος ἦεν ἑταίροις.
ἀλλ' οὐ πεῖθον ἄνακτα πεπνυμένον. ὃς ῥά οἱ ἤδη
ἥρης ἐννεσίῃσι τετιμένον αἴσονος υἱόν.
ὡς δή οἱ κλέος ἐσθλὸν ἐπεσσομένοισιν ὄπαζεν.
ὃς τότε γ' αὐτὸς ἔνισπεν, ἰήσονα κοίρανον εἶναι,
πεντήκοντ' ἐρέταισιν, ἀνὰ τραφερήν τε καὶ ὑγρήν.
καὶ τότε δὴ μάλα πάντες ἐπῄνεον ὡς ἐκέλευεν
ἡρακλέης, καὶ θῆκαν ἰήσονα κοίρανον εἶναι.
ἦμος δ' ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων,
ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα,
τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν αἴσονος υἱός.

Ad quos tum uolucri sermone locutus Iason,
Vos, ait, illustres proceres aduertite, nanq;
Ipse ego me nolim regem melioribus esse.
Ergo ducem quencunq; animus persuaserit unus
Proferte heroës, illi sint omnia curæ,
Qui rebus modus, & quæ sit sententia dictis
Cum terræ accedent, & cum tranabimus æquor,
Siue etiam Colchos, alias seu poscimus oras.
Estis enim numero simul, & uirtute priores,
Et manet à superis nascendi gloria uobis,
Vt labor hic nulla communis laude canatur.
Sed neq; qui superet, uel sit præstantior ullum
Hercule rege putem, simul & cognoscitis ipsi.
Sic ait, & cuncti laudarunt dicta tumultu,
Et clamor sequitur, regem placet esse, ducemq;
Alciden, longe socios qui excelleret omnes.
Non tulit Alcides prudens, nanq; ille sciebat
Aesonidæ per iussa dari Iunonis honorem,
Vt decus in longos illius proroget annos.
Inde ducem clara decernit Iasona uoce
Quinquaginta Argus remis terraq;, mariq;.
Tum quoq; collaudant Alcidæ iussa tumultu
Sublato, & principes his esse uidetur Iason.
Sed iam uectus equis cum scanderet æthera Titan
Immensum & tenebras inferret noctis opacæ,
Tum secum Aesonides intra præcordia cautus,

πεῖσιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων
θέσθαι. ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο.
καὶ τότέ μοι μυσταῖς φίλον τέκος ἀντιοφήμου,
πορσύνειν ἐκέλευε θοῶς ἱερήϊα καλά.
Αὐτὰρ ἐγὼ ψαφαραῖσιν ἐπ' ἠιόνεσσιν ἐνῆκα,
κάλα τά τ' ἐκ δρυὸς ὅσσι φερεσβίου, ἐν δ' ἄρ ὕπερθε
πέπλω παρκατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
καὶ τότε δὴ κραντῆρα βοῶν περιμυκέα ταῦρον
σφάζον ἀνακλίνας κεφαλὴν εἰς αἰθέρα δῖαν,
ζωοτάμνων, περὶ δ' αἷμα πυρὶ χέον ἔνθα καὶ ἔνθα.
Αὐτὰρ ἐπεὶ κραδίην θραύσας ποπάνοισιν ἔθηκα
λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ δὲ γλάγος ἄμνης.
ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας,
δοῦρα τ' ἐπαμπήξασθαι ἰδ' ἄρα κωπήεντα,
βύρσῃ τε σπλάγχνοισιν ἐρειδομέναις παλάμῃσι.
θῆκα δ' ἄρ ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
ὀστράκεον, τῷ πάντα περιφραδέως ἐμέμικτο.
Δήμητρος μὲν πρῶτα φερέσβιος ἀλφίτου ἀκτή.
αἷμα δ' ἔπι ταύροιο, θαλάσσης τ' ἁλμυρὸν ὕδωρ
στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαΐνης.
καὶ τότε χρυσείην φιάλην χείρεσιν ἐμαῖσιν
ἀμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένοιμον,
γεύειν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.
πυρκαιῇ δ' ἐκέλευον ἰήσονα λαμπάδα θέσθαι
πεύκης ἀζαλέης ὑπὸ δ' ἔδραμε θεσπεσίη φλόξ.
Δὴ τότ' ἐγὼ πρὸς χεῦμα πολυφλοίσβοιο θαλάσσης

Fœdera iuratos ſtatuit firmare fidemq́;
Heroas, ſtabili ſeruentur ut omnia uoto.
Tunc Muſæe patris charum genus Antiophemi
Me properare iubes pulcherrima ſacra parantem.
Ipſe pyras igitur ſpatioſo in littore ſtruxi
Frugiferæ quercus, tum ueſtes deſuper amplas
Ordine compoſui, dis conuenientia dona.
Tunc quoq; mugitu præſtantem & robore taurum
Viuentem ad ſuperos dura ceruice reflexa
Occidi iugulans, circum cruor undiq; manat,
Impoſui ſuper, & confringens corda placentis,
Vna oleæ librans agnæ cum lacte liquorem.
Tunc iuſſi denſa proceres adſtare corona,
Agglomerare enſes, infigere tela iuuenco,
Viſceraq́; & pellem nixu transfigere dextræ.
In medio patulam collectis omnibus urnam
Conſtitui, inde manu commiſcens omnia docta
In primis adipem cerealia dona farinæ
Et ſalſos pelagi fluctus, tauriq́; cruorem,
Inde coronatos oleis ad ſacra uocaui,
Ipſe meis phialam manibus, fuit aurea, ſumens
Impleui miſtis epulis, atq; ordine cuiq;
Heroum guſtare dedi uirtute potentum,
Et picis arentis immittere lampada iuſſi
Ignibus Aeſonidem. facis ingens flamma coruſcat.

χεῖρας ἐπαντείνας, τὰ δ' ἀπὸ γλώσσης ἀγόρευσα.
ὠκεανοῦ μεδέοντες, ἁλικλύστοιό τε πόντου,
ἐμβύθιοι μάκαρες, καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
ναίετ' ἁλικροκάλους, καὶ τηθύος ἔχατον ὕδωρ.
νηρέα μὲν πρώτιστα καλῶ πρέσβυστον ἁπάντων.
ἄμμιγα πεντήκοντα κόραις πάσαισιν ἐραναῖς.
γλαυκὴν δ' ἰχθυόεσσαν ἀπείριτον ἀμφιτρίτην,
πρωτέα καὶ φόρκυνα, καὶ εὐρυβίην τρίτωνα,
λαιψηροὺς τ' ἀνέμους, αὔραις μέγα χρυσεοτάρσοις.
ἄστρά τε τηλεσίφαντα, καὶ ἀχλύα νυκτὸς ἐρεμνῆς
αὐγήν τ' ἠελίοιο ποδῶν προποδηγέτιν ἵππων,
δαίμονας εἰναλίους τε μιγαζομένους ἥρωσιν,
ἀκταίους τε θεοὺς, ποταμῶν θ' ἁλιμυρέα ῥεῖθρα.
αὐτόν τε κρονίδην σεισίχθονα κυανοχαίτην,
κύματος ἐκ προθορόντα, μολεῖν ἐπιτάρροθον ὅρκων.
τόφρα μὲν ὄσω ἐπίκουροι ἰάσονος ἔμπεδον αἰεὶ
μίμνωμεν προφρόνως ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζωοὶ νοστήσωμεν, ἐὰ πρὸς δώμαθ' ἕκαστος.
ὃς δέ κε συνθεσίης δηλήσεται οὐκ ἀλεγίζων
ὅρκον ὑπερβάσιον, τούτου δ' ἐπὶ μάρτυροι ἐστὸν,
ἰθύντειρα δίκη, καὶ ἐριννύες αἰνοδότειραι.
ὣς ἐφάμην, οἱ δ' αὖτις ὁμοφροσύνῃ κατένευσαν,
ὅρκια δειμαίνοντες, ἐσημήναντο δὲ χερσίν.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
δὴ τότε νηὸς ἑῆς κοῖλον κύτος εἰσεπέρησαν,
πάντες ἐφεξείης, ὑπὸ δὲ ζυγὰ τεύχε' ἔθεντο.

Extendens tum deinde manus resonantis ad undas.

Sed uoco te primum seniorem Nerea cunctis
Quo patre formosæ sunt quinquaginta puellæ,
Et Glaucen Phocas quæ concipit Amphitritem,
Proteaq; & Phorcum, & late Tritona sonantem.
Et celeres uentos, quibus aurea iungitur aura,
Splēdidaq; astra ꝑcul, tenebras quoq; noctis opacæ
Præq; ducem pedibus fulgorem solis equorum
Dæmonas amplexus, heroidas usq; marinas,
Littoreosq; deos, fluuiorum & salsa fluenta,
Et fusco terras Saturnum crine mouentem,
Extantemq; undis, ad iuramenta uenire,

Deserat ut nullus communes ante labores,
In patria rediens donec sit quisq; receptus,
Læserit at iurisiurandi fœdera quisquis,
Numina contemnens superûm, testentur in illum
Vltrix iustitia, & pœnas quæ præbet Erinnys.
Hæc ego. tunc omnes, periuria nanq; timebant,
Adspirant nutu, manibus quoq; sic fore signant.
Atq; ubi consensere, & iusiuranda dedere,
Prosilit in medium nauis tunc quisquis aduncæ,
Ordineq; adsedit, iuga subter & arma ligabant.

χεῖρας ἐρετμώσαντες, ἐκέκλετο δ' αὐτόθι τίφυς
ἐκταδίοις ὅπλοις δῆσαι παρὰ κλίμακα μακρὴν
ἱστία δ' ἁπλῶσαι, λιμένος δ' ἐκ πείσματα θέσθαι.
καὶ τότε δὴ λιγὺν οὖρον ἐπιπροέηκε νέεσθαι
ἥρη ζηνὸς ἄκοιτις. ἐπείγετο δ' ἐς πλόον ἀργώ.
οἱ δ' ἄρ' ἐπ' εἰρεσίην ἐπέχον χεῖράς τε νόον τε
ἀκμῆτι βασιλῆες. ἐτέτμετο δ' ἄσπετος ἅλμη
ἀφρῷ ἅμ' οἰδαίνοντος ὑπὸ τρόπιν ἔνθα καὶ ἔνθα.
τῆμος δ' ἱερὸς ὄρθρος ἀπ' ὠκεανοῖο ῥοάων
ἀντολίας ἤνοιγεν, ἐπέσπετο δ' ἠριγένεια,
ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα.
καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη,
πηλίου ὑλήεντος ἀπ' ἠιόνος κατέφαινε
τίφυς δ' ἀμπαύσας διαπῆς οἰήια χερὸς
τυτθὸν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν,
καὶ ῥα θοῶς ἀκτῇσιν ὑπέδραμον, ἐκ δ' ἄρα νηὸς
κλίμακα δουρατέην λιμένων ἔντοσθε χάλασσαν.
ἐκ δ' ἔβαν ἥρωες μινύαι, παύσαντο δὲ μόχθου.
τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα πηλεύς.
ὦ φίλοι, ἀθρεῖτε σκοπιῆς προύχοντα κολωνόν,
μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον ἐνθάδε χείρων
ναίει ἐνὶ σπήλυγγι δικαιότατος κενταύρων,
ὃν τράφον ἐν φολόῃ, πίνδου τ' αἰπεινὰ κάρηνα,
ὃς ῥα δικασπολίῃ μέλεται καὶ ἀκέσμασι νούσων,
ἄλλοτε δ' αὖ φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,
ἢ λιγυρὴν φόρμιγγα χελυκλόνον ἑρμάωνος.

Aptabantq;

Aptabantq́; manus remis, iubet hic quoq; Tiphys
Nexilibus longam chordis ſubnectere ſcalam,
Vela dare in uentos, portaq́; auellere funem.
Tunc etiam leuibus Iuno Iouis uxor eundum
Significat uentis impulſaq́; nauigat Argò.
At poſtquàm remos haud feſſi mente, manuq́;
Exercent proceres, & amarum ſcinditur æquor,
Spumea de prora deferbuit unda tumeſcens.
Sed cum mane ſacrum ſurgens aperiret eoo
Oceano terras, iam iamq́; aurora ruberet,
Dulce hominum generi lumen, ſuperisq́; reportans,
Tunc ſeſe nobis nemoroſa cacumina, & altis
Rupibus, umbroſo de uertice, Pelion offert.
Hic propter terram Tiphys temone remiſſo
Remigibus lentis impelli iuſſerat Argò.
Tunc propere littus contingimus. haud mora iacta
Ad terram ſcala, portis intramus amicis.
Egreſſi Heroës Minyæ dant membra quieti,
Ad quos tunc omneis Peleus eques eſt ita fatus:
Cernitis excelſo collem ſub uertice amici
In medio umbroſum ſpatio? iuſtiſſimus illic
Centaurorum habitat ſpeluncæ in margine Chiron
Quicunq; in Pindo aut Pholoë uerſantur in urbe,
Iuſtitiæ ſtudet & morbis medicamina præbet,
Quinetiam Phœbi citharam quandoq; canoram
Mercurii'ue lyram plectro pertentat amœno,

πᾶσι περικτιόνεσσι Δικαιοπολίας ἀναφαίνῃ,
τόφρα καὶ ἡμέτερον κοῦρον Θέτις ἀργυρόπεζα
νήπιον ἀρτιγένεθλον ἐν ἀγκαλίδεσσι λαβοῦσα,
Πήλιον εἰνοσίφυλλον ἔβη, Χείρωνί τ' ἔδωκεν
εὖ μὲν ἐπισταμένως ἀγαπαζέμεν, ἠδ' ἀτιτάλλειν.
ὃν δή μοι πόθος ἐστὶ περὶ φρένα θηήσασθαι.
ἀλλὰ φίλοι πελάσωμεν ἐπὶ σπέος, ὄφρα ἴδωμεν
ἕξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται.
Ως εἰπὼν δ' ἐξῖκεν ἀταρπιτόν. οἱ δ' ἑπόμεσθα.
αὐτὰρ ἐπ' εἰς αὐλὴν εἰσήλθομεν ἠεροειδῆ,
ἔνθα προκεκλιμένος μὲν ἐπ' οὐδαίοιο χαμεύνης
κεῖτο μέγας κένταυρος, ἀπηρήρειστο δὲ πέτρῃ,
ἱππείαισιν ὁπλαῖσι τανυσσάμενος θοὰ κῶλα.
ἄγχου δ' ἱστάμενος Θέτιδος καὶ Πηλέος υἱός,
χερσὶ λύραν ἤρασσε, φρένας δ' ἐτέρπετο Χείρων.
ἀλλ' ὅτε δή ῥ' ἄθρησεν ἀγακλειτοὺς βασιλῆας,
ἀσπασίως ἀνόρουσε, κύσεν δ' ἄρα φῶτα ἕκαστον.
δαῖτα τ' ἐπόρσυνεν. μέθυ δ' ἀμφιφορεῦσι κόμισσεν
ῥωγαλέαις τ' ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα.
κλινθῆναι δ' ἐκέλευσεν, ἀδαιδάλτοις δ' ὑπὸ πλαγκταῖς
κρέα χύδην παρέθηκε συῶν ἐλάφων τε ταχειῶν.
αὐτὰρ ἔπειτ' ἐπένειμε ποτὸν μελιηδέος οἴνου.
ἀλλ' ὅτε δὴ δόρποιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός,
χερσὶν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ' ἂν ἔγωγε
δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων.
ἀλλ' ἐγὼ οὐ πιθόμην· περὶ γάρ με ἐπήλυθεν αἰδώς,

Iudicia in rebus mortales edocet omneis,
Vſque adeo Thetis niueis argentea noſtrum
Quemq; enixa recens natum, complexa ſub ulnis
Pelion aſcendens, tulerit Chironis ad antrum,
Quo ſciat & prudenter ali, & conſtanter amari.
Sed iam certa tenet pueri me cura uidendi,
Antrum igitur poſcamus, ut hic uideamus amici
Quis puero cultus, morum quis fulgor in illo.
Sic dicens, callem ingreditur, ſectamur euntem.
Aſt ubi Centauri uaſtæ ſucceſſimus aulæ,
Ipſe recumbebat tenui prope limina lecto
Ingens, atq; humeros ſuſtentat petra, pedesq;
Præpetibus membris extendebantur equini.
Tum prope Pelides, Thetidos quoq; filius adſtans
Increpuit citharam, tenuit ſua gaudia Chiron.
Aſt ubi præclaros reges ad limina uidit,
Excipit adſurgens & lætus ad oſcula quenq;,
Inde epulas profert, & plenis uina lagenis,
Subſternensq; humiles multa diſcumbere iuſſit,
Fronde thoros, fert exuperans incompta paropſis
Porcorum, atq; agiles ceruorum in prandia carnes.
Deinde tulit dulcis gratiſſima pocula Bacchi.
Cum iam menſa hilares animos fœcunda dediſſet,
Applauſu ſtrepuere manus, me nanq; iubebant
Cum cithara argutos cantus conferre Chironi.
At mihi non ideo perſuaſum eſt, nanq; rubore

ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν.
μέσφ' αὐτὸς χείρων ἐλιλαίεν καί μ' ἀέκοντα
ἠνώγει, ἄδων ἐριδαινέμεν εἵνεκα μολπῆς.
πρῶτος δ' αὖ κένταυρος ἀείρας πηκτίδα καλὴν
ἣν ῥα τότ' ἐν χείρεσσι φέρων ὤρεξεν ἀχιλλεύς.
ὣς δ' ἄρ' ἄειδε μάχην κενταύρων ὀβριμοθύμων,
οὓς λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῶν
ἠδ' ὡς ἡρακλῆϊ καταντία μαιμώοντες,
ἐν φολόῃ δήρισαν, ἐπεὶ μέθυ οἴνου ἔγειρεν.
Αὐτὰρ ἔγωγε μετ' αὐτὸν ἑλὼν φόρμιγγα λιγείαν,
ἐκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν.
πρῶτα μὲν ἀρχαίου χάεος μελανήφατον ὕμνον.
ὡς ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐσπέρας ἦλθε.
γῆς τ' εὐρυστέρνου γένεσιν, πυθμένα τε θαλάσσης.
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα
ὅσσα τ' ἔφυσεν ἅπαντα. Διέκριθεν δ' ἄλλον ἀπ' ἄλλου
καὶ κρόνον αἰνολέτην ὥς τ' ἐς Δία τερπικέραυνον
ἤλυθεν ἀθανάτων μακάρων βασιλήϊος ἀρχή,
μέλπον θ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε
καὶ βριμοῦς βάκχοιο γιγάντων τ' ἔργ' ἀΐδηλα.
ἀνθρώπων δ' ὀλιγοδρανέων πολυεθνέα φύτλην
ἤειδον. στεῦνον δὲ διὰ σπέος ἤλυθεν αὐδὴ
ἡμετέρης χέλυος μελιχρὴν ὄπα γηρυούσης.
ἔστευν δ' ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
πηλίου, ὑψηλάς τε μετὰ δρύας ἤλυθε γῆρυς
καί ῥ' αἱ μὲν πρόρριζοι ἐπ' αὔλιον ἐθρώσκοντο,

Perfuſus iuuenis ſenis æmulus eſſe uerebar,
Ipſe ſenex donec cupiens cantansq́; coëgit
Inuitum alternis modulis contendere Chiron.
Increpuit prior ergo lyra Centaurus eburna,
Quamq́; ſuis geſtans manibus porrexit Achilles.
Et canit ut fuerint non æquo Marte feroces
A Lapithis iuxta Centauri morte perempti,
Et temere Alciden auſos irrumpere contra
In pholoë pugnaſſe, mero faciente furores.
Aſt ego tum cithara poſt illum ex ordine ſumpta
Melliſluum reſonans emiſi gutture cantum.
Nigrantis tunc ergo Chaus prædiximus hymnum.
Vt conuerſa elementa, polusq́; apparuit horrens,
Quodq́; genus uaſtis terris, pelagiq́; profundum,
Conſilio & prudens, atq; antiquiſſimus horum
Cuncta ſuo generauit amor, ſecreuit & ipſa
Saturnumq́; grauem, ſummiq́; ut denique cœli
Excepere Iouem regalia ſceptra tonantem.
Cantabamq́; genus iuuenum, & ius omne deorum,
Pugnacem Bacchum, & crudelia facta Gigantum.
Mortalis ſuper hæc hominum memorata propago
Eſt mihi, & anguſtum ueniunt cantata per antrum
Prædulces plectro reddente per atria uoces,
Obſtupuere apices montisq́; & uallis opaca
Pelionos, quercusq́; altæ de carmine motæ
Conuulſis properant ad eam radicibus aulam,

πέτραι τ᾽ ἐσμαράγουν. θῆρες δ᾽ ἀΐοντες ἀοιδῆς,
σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον.
οἰωνοί τ᾽ ἐκυκλοῦντο βοαύλια κενταύροιο,
ταρσοῖς κεκμηῶσιν, ἑῆς δ᾽ ἐλάθοντο καλιῆς.
Αὐτὰρ ὁρῶν κένταυρος ἐθάμβεε χεῖρ᾽ ἐπὶ καρπῷ
πυκνὸν ἐπισσείων. οὖδας δ᾽ ἤρασσεν ὁπλῇσι.
τῖφυς δ᾽ εἰσεπέρησεν ἕως ἄπο, καί ῥ᾽ ἐκέλευσεν
ὦκα παρὰ μινύαισιν, ἐγὼ δ᾽ ἄμπαυον ἀοιδῆς.
οἱ δὲ θοῶς ἤγερθεν. ἔντυνε δὲ τεύχε᾽ ἕκαστος.
παῖδα δ᾽ ἐν ἀγκαλίδεσσιν ἐνίσχανεν ἱππότα πηλεὺς
καὶ ῥ᾽ ἔκυσεν κεφαλήν τε, καὶ ἄμφω φάεα καλά,
δακρυόεν γελόων. κηλήθη δὲ φρένας ἀχιλλεύς.
Αὐτὰρ ἐμοὶ κένταυρος ἐῇ γέρας ὤπασε χειρὶ
νεβρὴν παρδαλέην ξεινήϊον ὄφρα φέροιμι.
ἀλλ᾽ ὅτε δὴ σπήλυγγος ἄπο προθορόντες ἔβημεν
ἄκρης ἐκ σκοπιῆς ὁ γέρων ἀνὰ χεῖρας ἀείρων,
φιλλυρίδης ἠρᾶτο, θεοὺς δ᾽ ἐπεκέκλετο πάντας
νόστον μὲν μινύαισιν, ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι
ὁπλοτέροις βασιλεῦσι καὶ ἐσσομένοις μερόπεσσιν.
Αὐτὰρ ἐπεί τ᾽ ἐπὶ θῖνα καὶ ἐς νέα πάντες ἔβησαν
ἐν προτέροις θώκοισι καθίζανον. ἐν δ᾽ ἄρ᾽ ἐρετμοῖς
χεῖρας ἐφαπλώσαντες, ἐπί ῥ᾽ ἅλα τύπτον ἕκαστος
πήλιον ἐκνεύσαντες, ὑπὲρ μέγα λαῖτμα τε πόντου
ἀφρὸς ἐπιζείων χαροπὴν λεύκαινε θάλασσαν.
πεισαίη δ᾽ ἀπέκρυφθεν ἄκρη καὶ σηπιὰς ἀκτή.
φάνθη δὲ σκίαθος, δόλοπος τ᾽ ἀνεφαίνετο σῆμα,

Auditoque feræ cantu, petræque strepentes
Speluncæ stabant informes, agmine facto.
Quinetiam fessis stabula ad centaurica pennis,
Immemoresque sui nidi uenere uolucres.
Centaurus stupet aspiciens, feriensque trementis
In sese ipse manus terram pede pulsat equino.
Sed uenit à puppi Tiphys, Minyasque repente
Imperio cogit, cantus ego deinde remisi.
Consurgunt proceres, sua quisquis & induit arma.
Sed natum Peleus patriis complexus in ulnis

Arrisit lachrymans, gaudens excepit Achilles.
Ipse suis pellem manibus Centaurus honorans
Hospita dona dedit pardi mihi munus habere.
Ast ubi spelūnca discessimus inde relicta,
Extendens senior tumuli de uertice utrasque
Phyllirides in uota manus, superosque precatur
Dent reditum Minyis, ueniat quoque regibus orat
Gloria magnanimis tardos uisura nepotes.
Ergo ubi iam ad nauem, & littus descendimus oēs
Consedere suis in transtris quisque, manusque
Impliciti ualidis pulsabant æquora remis.
Pelion ex oculis abit, & uis spumea uasto
Exultans pelago canentes fecerat undas.
Pisæus latet, & tua Sepia littora uertex.
Ante oculos Sciathos ueniūt, dolopisque sepulchrū.

ἀγχίαλός θ' ὁμαλή, ῥέεθρόν θ' ἁλιμυρὲς ἐναύλου,
ὃς διὰ πολλὴν γαῖαν ἵει μεγαλόβρομον ὕδωρ.
οὐλύμπου δὲ βαθυσκοπέλου πρηῶνας ἐρυμνοὺς
εἰσέδραμον μινύαι, καὶ ἄθωδεν Δρώδεα κάμψαν
πελλήνην τ' εὐρεῖαν, ἰδὲ ζαθέην σαμοθρήκην.
ἔνθα καὶ ὄρκια φρικτὰ θεῶν ἄῤῥητα δὲ βροτοῖσιν
ἄσμενοι εἰσεπέρησαν ἐμῆς ὑποθημοσύνῃσιν
ἥρωες. μετὰ γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι
τῆς δὲ θυηπολίης ἄμοτον πλωτῆρσιν ἕκαστος.
σιντιακαῖς δ' ὀφρύσιν ἐκέλσαμεν ὠκύαλον ναῦν.
λήμνῳ ἐν ἠγαθέῃ. τόθι περ κακὰ ἔργα μεμήλει
θηλυτέραις. αἳ γάρ θεν ἀϊστώσαντο συνεύνους
σφῇσιν ἀτασθαλίῃσι, καὶ ἡ κλυτὴ ὑψιπύλεια
ἐλδομένας κραίνεσκε γυναικῶν εἶδος ἀρίστη.
ἀλλὰ τίς οἱ περὶ τῶνδε πολὺν λόγον ἀμφαδὸν εἰπεῖν
ὅσσον ἐφ' ἥμερον ὦρσεν ἀγαυαῖς λημνιάδεσσιν
κύπρις ἐρωτοτρόφος, μινύαις εἰς λέκτρα μιγῆναι.
φίλτροις ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν ἰήσων,
ἄλλην δ' ἄλλος ἔμικτο, καὶ ἐκλελάθοντο πορείης
εἰ μὴ ἀποτροπίοις ἐνοπαῖς θελξίφρονι θυμῷ
ἡμετέρῳ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν.
εἰρεσίην ποθέοντες ἐπεμνήσαντο δὲ μόχθου.
ἦλθεν ἐς ἑλλήσποντον ἅμ' ἠῶος φέρεν οὖρος
ἀκραὴς ζέφυρος, στεινῆς ἀπάτερθεν ἀβύδου,
ἴλιον Δαρδανίην πιτύην ἐπὶ δέξιον ἔχοντας,
οὗ καὶ ἀβαρνιάδας, περκώτης τ' εὔσταχυν αἶαν.

Plana quoq; Anchialos, & aquis præsalsus Enaulus,
Qui rapido uastis strepitum dat flumine terris.
Prætereunt ualles Minyæ quoq; montis Olympi
Excelsi obstrusas, & Athon cum frondibus altis,
Pellenen latam, necnon diam Samothracem.
Hinc quoq; mortali nulli dicenda deorum
Sacra meis moniti sermonibus horrida uitant
Heroës, illinc nanq; insatiabile lucrum
Incola de nautis sacrorum uindicat usu.
Inde ad compositos uultus appellimus Argò
Diuinæ Lemni. scelus illic ausa nefandum
Fœminei rabies odii iurata maritos
Exitio dedit. ast deinde uolentibus ipsis
Imperat Hypsipyle cunctis formosior una.
Sed tibi quid multis referam dea Cypria quanto
Fecerit igne graui splendentia pectora nostrum
Lemniadum Minyis sociare cubilia iunctis?
Reginam Hypsipylen ardens compressit Iason,
Ast alias alii, pelagi nec cura manebat,
Donec me tardos animo indignante recessus,
Et monitis miscente minas, referuntur ad Argò
Remigio intenti, patriæ quoq; cura subiret,
Sub lucem Zephyro puppim feriente sereno
Hellespontus habet, nosq; arta relinquit Abydos.
Dardanium à dextris, Pityeq; erat, Ilion ingens,
Pulcher ubi Aesepus Percoten, Abarniadanq;

ἀργυρέαις αἴσηπος ἐπικλύζει προχοῇσιν.
αἶψα δ' ἐπιθρώσκουσα θέεν πολυηγόρος ἀργώ.
Αὐτὰρ ἐπεὶ ψαμάθοισιν ἐκέλσαμεν, ἔνθ' ἄρα τῖφυς
ἰθύντωρ ἀκάτοιο καὶ ἀγλαὸς αἴσονος υἱός,
σύν τ' ἄλλοι μινύαι, γλαυκώπιδι τριτογενείῃ
θῆκαν ἀείραντες βριθὺν λίθον, ἔνθα δὲ νύμφαι
κρήνῃ ὑπ' ἀρτακίῃ καλὰ νάματα πλημμύρουσιν
οὕνεκά οἱ πλώουσιν ἀνὰ πλατὺν ἑλλήσποντον.
εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη,
οὐδ' εἰς γαῖαν ἔριψαν εὐγνάμπτους ἀγκύρας,
κύμασι φθινόμενοι ὑπὸ χειμερίοισιν ἀήταις.
ἔνθα δὲ προσσώοντες ἐπὶ κροκάλαις προυχούσαις
δεῖπνά τε καὶ κλισίην, δόρπου μεμνήμεθ' ἕκαστοι.
δὴ τότε κεκλιμένοισιν ἐπήλυθε κύζικος ἥρως,
ὃς δολόπων ἤνασσε περικτιόνων ἀνθρώπων
αἰνῆος φίλος υἱός, ὃν οἱ τέκε δῖα γυναικῶν,
εὐδώρου θυγάτηρ αἰνίππη καλλιπάρῃος.
ὃς ῥα φιλοξενίῃ μινύας ἐγέρηρεν ἅπαντας,
σφάζων πῖά τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς,
ἀγροτέρους τε σύας, δῶκεν δ' ἐπὶ οἶνον ἐρυθρόν.
σῖτον δ' ἄθφονον ἧκεν ἀποπλώουσι φέρεσθαι,
χλαίνας τ' ἠδὲ τάπητας εὐνήτους τε χιτῶνας.
φίλετο δ' αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς.
καὶ ῥα πανημερίοισιν ἐν εἰλαπίναισιν ὅμαρτεν.
ἀλλ' ὅτε γ' ὠκεανοῖο ῥόον βάπτιζεν τιτὰν,

Frugiferas terras ſplendentibus alluit undis.
Læta ferebatur uentis ſtridentibus Argò.
Atq; ubi iam littus compreſſimus, ipſe magiſter
Aemoniæ puppis, ſimul & præcelſus Iaſon,
Atq; unà Minyæ reliqui monimenta Mineruæ
Erecto ædificant ſaxo, pulcherrimus unde
Manat ab Artaciæ nympharum munere gurges,
Dona deæ quoniam per concaua littora ponti
Helleſpontiacis facies arriſit in undis,
Et nullo introrſum motis aquilone procellis,
Iactanda in medios non hæc fluit anchora fluctus,
Porrectoq; illic tentoria littore figunt,
Et pranſi expectant uenientis tempora cœnæ.
Iamq; recumbebant uenit cum Cyzicus heros,
Imperat hic Dolopum gentiq; Perictionumq;
Aenei charum pignus, quem filia clari
Eudori Aenippe peperit formoſa puella.
Hic igitur menſa Minyas fouet hoſpite cunctos,
Flexipedesq; boues, pingueisq; dat eſſe iuuencos,
Agreſteisq; ſues, & rubri pocula uini,
Et panum cumulos dono dat ferre per altum.
Inſuper & ueſtes, tunicas, pictosq; tapetas.
Fecerat ætatis par illos gratia charos,
Appoſitisq; ſuum eſt dapibus teſtatus amorem.
Sed poſtquàm Oceani latuit ſol merſus in undis,

μήνη δ' ἀστροχίτων ἐπάγει μελαναυγέα ὄρφνην
τῆμος ἀρκίφατοι κίον ἀνέρες οἷς ἀνέμοντο
ἀρκτῴοις ἐν ὄρεσι πεδηπόρες ἴκελα θηρσὶ
Τιτᾶσι βριαροῖς τ' ἐναλίγκιοι, ἠδὲ γίγασιν.
ἓξ γὰρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο
οὓς τότ' ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
ἐς μόθον ὁρμαίνοντες ἀρήϊα τεύχε' ἔδυνον
καί ῥ' οἱ μὲν πεύκῃσιν ἀμύνοντο, οἱ δ' ἐλάτῃσιν
ἐν δ' ἔπεσαν μινύαισι κατὰ σκοτόεσσαν ὁμίκλην,
οὓς τοι ἐπεσσυμένους κτεῖνεν Διὸς ἄλκιμος υἱὸς
τόξῳ ὀϊστεύων. σὺν δ' αὖ νέον ὤλεσε παῖδα
κύζικον, οὔτι ἑκών, ἀλλ' ἀφραδίῃσι πεδηθείς,
τῷ δ' ἄρα μόρσιμον ἦεν ὑφ' ἡρακλῆϊ δαμῆναι.
αἶψα δέ οἱ μινύαι κοίλης ἔντοσθεν ἔβησαν
νηὸς τευχήεντες, ποτὶ δὲ ζυγὸν ἶζον ἕκαστος.
τίφυς δὲ πρύμνηθεν ἐπήπυεν. ἠδ' ἐκέλευε
κλίμακα νηὸς ἔσω ἐρύσαι, καὶ πείσματα λῦσαι.
ἀλλ' οὐ γὰρ λύοντο κάλοι. δεσμοῖσι δ' ἀφύκτοις
ὠκείης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο
νῆα καπίσχοντες. θάμβησε δὲ τίφυς ἀμύμων,
ἄφθογγος δέ οἱ ἧκε χερῶν οἰήϊα νηὸς
ἀργώης. οὐ γάρ γε ἐέλπετο κῦμα περῆσαι.
ῥείη γὰρ κοτέεσκε δεδουπότος εἵνεκα λαοῦ.
ἀλλ' ὅτε πρὸς μέσατον νυκτὸς προὔβαινεν ἀταρπὸς
ἄστρα τε τηλεφανῆ δῦνεν ῥόον ὠκεανοῖο,
ὥστε κυβερνήτῃ προσεπέστιχε νήδυμος ὕπνος,

Lunaq; nocturnum stellis induxit honorem,
Prosilit Arctois pubes tunc Martia siluis,
Persimilisq; feris facies fuit horrida, quales
Titanas referunt, fortesúe fuisse Gigantes.
Nam sex cuiq; inerant cum duris brachia dextris,
Quos simul ut toruo uiderunt lumine reges
In pugnam & duros assumunt arma labores.
Pugnabant illi piceis, hastisq; abiegnis,
Et Minyas tenebris inuadunt noctis opacæ.
Sed temere instantes natus Ioue fortiter arcu
Stridente occidit, iuuenem quoq; perdidit unà
Cyzicon, inuitus licet, atq; errasset in illo,
Fata sed urgebant Alcidæ occumbere dextra.
Cum subito in puppim saltu referuntur ad uncam
Armati Minyæ, atq; omnes sua transtra tenebant.
Tiphys ab excelsa dat sibila puppe, iubetq;
In nauem scalamq; trahi, soluiq; rudentes.
At non soluuntur funes, sed naue retenta
Arctius hærebant subitæ de more procellæ
Vincula nodorum. stupuit tum nauita Tiphys
Egregius, iam uoce carens & liquerat Argus
Temonem, fluctus expes euadere tantos,
Indignante Rhea populum per uulnera cæsum.
Sed cum iam medios cursus nox atra teneret,
Iret & occiduas astrorum fulgor in undas,
Altior inuasit nautæ tum lumina somnus,

τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος ἀθήνη,
ἄγχι παρισταμένη παρ' ἐτήτυμα σήματ' ἔφαινεν.
ὧδε δ' ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον.
εὕδεις ἀγνιάδη γλυκερῷ βεβολημένος ὕπνῳ,
κῶμα περὶ βλεφάροισι βαλών; ἀλλ' ἔγρεο τίφυ,
κέκλεο δ' ἡρώεσι μολεῖν ἐπὶ νήνεμον ἀκτὴν
νηὸς ἄπο προθορόντας, ὅθι ξένος ἐν ψαμάθοισι
κεῖται ἀποφθίμενος, τῷ οἰκτέρεα κτερεΐξαι
παμμήτειρα ῥέη κέλεται γέρα, ἠδ' ἔπι λοιβὰς
δοῦναι ὑποχθονίοισι, καὶ δάκρυα λειβέμεν ὄσσων,
ἁζομένους θέμιν ἁγνοπολῆ ξενίην τε τράπεζαν,
ὃν ῥ' ἀέκων ἔκτανε βαλὼν διὰ νύκτερον ὄρφνην
ἡρακλέης, θυμὸν δὲ θεᾶς ἐχολώσατο ῥείης.
ἀλλ' ὁπόταν θεσμοῖς ξεῖνον σεβάσησθε θανόντα.
δίνδυμον αὐτίκ' ἔπειτα ῥέης ἕδος εἰσαναβάντες,
ἱλασμοῖς ἱεροῖς γαίης ἀρέσθε θύγατρα,
πείσματα δ' ἀράμενοι τότε δὴ μνώεσθε πλόοιο.
ὣς εἰποῦσα θεὰ πάλιν ἐτράπετ' ἶσον ὀϊστῷ,
οὐρανὸν ἐσσυμένη. τοῦ δ' αὐτίκα κῶμ' ἐκεδάσθη.
πρύμνης δ' ἆλτο θοῶς, ἀνέγειρε δὲ λαὸν ἀυτῇ
τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας
ψυχῇ ὑπορρομέων, ἄφαρ ἡρώεσι δ' ὀνείρου
φάσματα πᾶσιν ἔνισπεν, ἐπιδρομάδην ἀγορεύων.
οἱ δὲ θοῶς ἤγερθεν, ἐπ' ἠίονα δ' ἆλτο ἕκαστος,
ἠδὲ κατ' ὀρφναίοιο πόλου χρυσήνιος ἠώς,
ἀντολίην ἤνοιγεν, ἐδέχνυτο δ' οὐρανὸς ὄρθρον.

Inde deæ mandata graui non uana sopore
Horrisonæ instantis comprensum Palladis urgent,
Fataq; diuinum sic est ea fronte minaci.
Agniada dormis somno percusse profundo,
Pelle tegens oculos: sed iam consurgito Tiphy.
Et tutum ad littus saltu de puppe iubeto
Ire duces, informe tenent ubi corpus harenæ
Hospitis, inferiasq; dari, & sua funera cæso,
Dis Rhea nanq; iubet sacra & libamina ferri
Infernis, largosq; oculis stillantibus imbres.
Fasq; pium, atq; huius sic hospita mensa colatur
Quem iaculo inuictus traiecit noctis in umbra
Alcides, iraq; deam concussit amara.
Ast ubi iustus honos habitus de more sepulchri,
Inde deæ ad sedem uenietis Dindymon altam.
Hic placanda sacris Telluris filia pulchris.
Tunc funes trahere, & uentis dare uela iubebat.
Hæc ubi fata dea est, abiit conuersa sagitta
Ocyor ad superos. oculis huic pellis abacta est,
Qui propere exiliens populum clamore uocabat,
Hinc atq; inde mouens, illos sopor altus habebat.
At tremor hinc animi, sed postquàm uoce uocatos
Heroas docuit per somnum uera locutus,
Surrexere citi, & saltu iam littora poscunt.
Tum croceas aurora faces iam nocte fugata
Prætendens, rutilo spargebat lumine cœlum,

καὶ τότ' ἀριστῆες μινύαι νέκυν εἰσενόησαν
αἵματι ἐν κονίῃ πεπλαγμένον, ἀμφὶ γὰρ ἄλλοι
δήϊοι ἀμφὶς ἔκειντο πελώρια σώματα θηρῶν,
ἀλλ' οἱ μὲν βασιλῆα περισταδὸν ἀμφιχυθέντες
κύζικον εὐξέστοισιν ὑπὸ πλατέεσσιν ἔθηκαν,
ἂν δ' ἄρα τύμβον ἔχευαν, ἐδωμήσαντο δὲ σῆμα.
φιτροὺς δ' αἶψα κόμιζον, ἰδ' ἔντομα προσσαίνοντες
παμμέλαν' ἐν βόθροις κατεκίαθον. αὐτὰρ ἔγωγε
ψυχὴν ἱλασάμην σπένδων μειλίγματα χύτλων
ὕδατι δ' ἠδὲ γάλακτι μελισσορύτων ἀπὸ νασμῶν
λοιβαῖς συμπροχέων καὶ ἐμοῖς ὕμνοισι γεραίρων.
αὐτὸς δ' αἰσονίδης προὔθηκατο πᾶσιν ἄεθλον,
τυμβιδίου ἐπ' ἀγῶνος ἑταίροις ἔμμεν ἄεθλα.
δῶρα τά οἱ πόρεν ὑψιπύλη λήμνοιο φέρεσθαι.
ἀγκαίῳ μὲν δῶκε πάγης γέρας ἀμφικύπελλον
χρύσεον πολυχανδὲς ἔχειν, πηλῆϊ δ' ἔδωκε
θάσσον τι σταδίοισι ποδωκείης ἕνεκα σφῆς,
χλαῖναν φοινικέην πολυδαίδαλον ἔργον ἀθήνης.
Αὐτὰρ παγκρατίοιο δόκεν γέρας ἡρακλῆϊ
ἀργύρεον κρητῆρα παναίολον. ἱππασίης δὲ
κάστορι χρυσείων φαλάρων πολυτεχνέα κόσμον.
πυγμαχίης δὲ τάπητα λινανθέα δῶκε φέρεσθαι
ἀθλοφόρῳ πολυδεύκει, ὃ γὰρ κλυτὸν ἤρατο νῖκος.
αὐτὸς δ' εὐκαμπὲς τόξον λάβεν, ἠδ' ἄρ' ὀϊστοὺς,
τεινόμενος δέ οἱ ἠκέβολος, τοῦ δ' ἀπέπτατο τηλοῦ.
δῶκε δ' ἄρ' αἰσονίδῃ μινύης λόχος εἵνεκα τιμῆς

Cum

Cum celsi proceres Minyæ uidere cadauer
Puluere fœdatum, liuentiq; ora cruore,
Vtq; feras alias, ingentia corpora circum,
Ipsi autem densa regem cinxere corona
Cyzicon, & secto iuuenem sub marmore claudunt,
Et fodiunt tumulum, factoq; ex more sepulchro
Agglomerant truncos propere. iã magna sub antris
Viscera defossis condunt, ast ipsius umbram
Idem ego perfectis placaui in funere sacris,
Dulcis aquæ, & niuei lactis libamina miscens
Illimo de fonte, meis & laudibus ornans.
Tum uero Aesonides sociis ad uota uocatis
Esse sepulchrali sua præmia dixit agoni.
Hypsipyle dederat ferri quæ munera Lemno;
Ancæo calicem dedit aurea dona palæstræ
Gibbosum, manibusq; grauem. uerum tibi Peleu
Victori in stadiis proprii certamine cursus
Insignem, rutilam, textam quoq; Pallade uestem.
Et fuit argento Crater grauis, arte superbus,
Alcidæ precium pro cestibus. aurea Castor
Dona tulit, phaleras præsignes, uictor equestris.
Polluciq; dedit splendentes ferre tapetas,
Nam fuit hic pugilum celebri certamine uictor.
Ipse autem flexo ui multa strenuus arcu
Sublimem ante omnes emisit in alta sagittam,
Hinc oleam Aesonides Minyis donatus ab ipsis,

πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.
Αὐτὰρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος Ἰήσων
ἐμβάδα χρυσείην γε ὑταινομένην πτερύγεσσι.
λῦτο δ' ἀγὼν, φήμη δὲ διέπτατο δώματος εἴσω
κυζίκου οἰχομένου, τοῦ δ' ὡς κλύε σύγγαμος αἰνή,
στήθεα δρυπτομένη λίγ' ἐκώκυεν, ἀμφὶ δὲ δειρῆς
ἁψαμένη μήρινθα βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε.
γῆ δ' ὑποδεξαμένη πλακὶ δάκρυα πίδακος ἧκε,
βρύζουσ' ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσσης
ἀέναον, κλείτην δὲ περικτίονες καλέουσι.
καὶ τότε δὴ βασιλῆες ὀνειροπόλον διὰ πύσιν
κνημὸν ἐπὶ ζάθεον, καὶ δίνδυμον ἀκρώρειαν,
ὄφρα κε μειλίξαιντο ἐϋοινίστοις ἐπὶ λοιβαῖς
ῥείην πρεσβυγενῆ, θυμόν δ' ἀλέαιντο ἀνάσσης.
Αὐτὰρ ἐγὼν ἑπόμην, φόρμιγγα δὲ μετὰ χερσὶν ἄειρον.
ἄργος δ' αὐτοῦ ἵκανε λιπὼν εὐεργέα νῆα,
ὅς γε τανυφλοίου ἐλάτης ἀμφιπλεχὲς ἔρνος
ἀμπέλου αὐαλέης ὀξεῖ ἀπέκερσε σιδήρῳ,
ξέσσε δ' ἐπισταμένως βρέτας ἱερὸν ἰδμοσύνῃσι
μίμνειν ἔμπεδον αἰέν, ἐπεσσομένοις ἀνθρώποις,
λᾶας δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
ὧν δ' ἄρ' ἐπειγόμενοι μινύαι, μέγα δ' ἔξοχα πάντων
αἰσονίδης, λιθάκεσσιν ἀκρότα βωμὸν ἔτευξαν,
ᾧ ἐπὶ ταυροθύτους λοιβὰς ἠδ' ἱερὰ καλὰ
ῥέξαν ἀριστῆες, σπονδαῖσι δ' ἐτέρπετο ῥείη.
Αὐτὰρ ἔμ' ἤνωγον κλῦσαι θεὸν ἠδὲ γερῆραι,

Intextam uario tenuit cum flore coronam.
At mihi pro cantu dat munera dius Iason
Ex auro extensis alis utrinq; cothurnos.
Hic pugnæ modus. at celer implet fama penates
Cyzicon extinctum, quod postquàm sensit & uxor
Infelix, altum resonat, lacerataq; pectus,
Et collo inuoluens funem, suspensa pependit.
Suscipiens autem lachrymas has terra perennes,
Emisit latices, saxis fons uitreus inde
E mediis manat, fontem uocat incola Clenen.
Tunc ergo oracli memores tenuere cacumen
Diuinum auditi reges, & Dindymon altum,
Vt ueneranda sacris annosæ deniq; placent
Corda Rheæ, sumatq́; animas regina calentes.
Ipse autem cithara semper comitante sequebar.
Præuenit hic etiam nos Argus puppe relicta,
Qui pius obliqua intortum cum cortice ramum
E ferro arentem uitem præcidit acuto,
Effigiemq́; sacram seclis monimenta daturam
Omnibus egregia fixit, formauit & arte,
Reginæq; aram sculpto de marmore struxit.
Hic igitur properi Minyæ, præq́; omnibus unus
Aesonides, sectis ponunt altare lapillis.
Hoc super & tauros libant, & uictima quæq;
Grata fuit, proceresq; iuuant libamina diua.
Nos cultus, laudesq́; deæ celebrare iubemur,

ὄφρά κεν ἀντομένοις νόσον μελικδέ ὀπάσσοι.
ἀλλ' ὅτε δὴ θυέεσσι λιταῖσί τε γουνασάμεσθα,
ἀργώην ποτὶ νῆα κατήλθομεν, ἐν δ' ἄρα Τίφυς
ἥρωας πρύμνηθεν ἐκέκλετο, σὺν δ' ἄρα πάντες
ἐσσύμενοι θώκοισιν ἐπὶ προτέροισι κάθιζον
βάντες ὑπὲρ θώκοιο, καὶ εἰρεσίης μνώοντο.
ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες
πείσματα δ' ἠπλώθη. κραιπνὸν δ' ἀπὸ Δινδύμου ἄκρης
ἵκμενον οὖρον ἐφῆκε ῥέη λιπαροκρήδεμνος.
ἡμεῖς δ' αὖτ' ἐπὶ νηῒ γεράσμια πέμπομεν ἱρὰ
βωμὸν ἐπιστέψαντες ἐπεσσομένοισι πυθέσθαι
πεισματίην, τόθι πείσμαθ' ἐεργομένης λῦθεν Ἀργοῦς.
Αὐτὰρ ἐπεί γ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης
θεῖνε διαπρήσσουσ' ἁλιμυρέα κύματα πόντου
Μύσια δὲ σχεδόθεν παραμείβετο πείρατα γαίης.
αἶψα δὲ ῥυνδακίους προχοὰς ἤμειψε θέουσα.
καλούς τ' ἐς λιμένας ψαμαθώδεας εἰσεπέρησε
κέλσε δ' ἐπ' αἰγιαλῷ, προτόνοις δ' ἐπὶ χεῖρα βαλόντες
ἱστία μηρύσαντο καὶ ἀμφ' ἱμᾶσιν ἔδησαν
κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονὸς, ἐκ δ' ἔβαν αὐτοὶ
σίτου καὶ πόσιος λελιημένοι, ἀμφὶ δὲ κνάμος
ἀργάνθου κατέφαινε βαθυσκόπελοί τε κολῶναι.
ἡρακλέης δ' ἠπείγετ' ἀν' ὑλήεντας ἐναύλους,
τόξον ἔχων παλάμαις, ἰδὲ τριγλώχινας ὀϊστούς,
ὄφρά κε θηρήσαιτο πόροι δ' ἐπὶ δόρπον ἑταίροις
ἢ σύας, ἢ πόρτιν κεραὴν, ἢ ἄγριον αἶγα.

Supplicibus reditum quo sic placata ministret.
Ergo ubi desierant libamina sacra, piosq́;,
Argoam ad nauem descēdimus, hinc quoq; Tiphys
Heroas de puppe uocat, tum protinus omnes
Irruimus, quo quisq; prius per transtra resedit
Ordine, tunc etiam remorum cura subibat.
Sponte sua funes terra uenere soluti.
Velaq; tenduntur, nobis Rhea Dindymo ab ipso
Magnipotens misit uentos de puppe secundos.
Nos autem rursum spectanda nepotibus olim
Sacra coronata de naui mittimus ara,
Implicitæq; Argus duri cessere rudentes.
At postquàm nauis complerunt carbasa uenti,
Subsiliens salsas ponti præteruolat undas
Et prope Mysorum terræ confinia transit,
Rhindaciumq́; cito cursu tum præterit amnem.
Hinc iam littus amans gaudenti remige portus
Intrat arenosos, manibus tunc ergo rudentes
Colligere, & loris subnectere uela iubemur.
Hinc scala egredimur subducta in littore pulchro,
Quisq; cibi potusq; memor, nemorosa uideri
Arganti hic circum præcelsa cacumina montis.
Tum uero armatus siluas properabat in altas
Alcides, arcu teloq; tricuspide dextram
Venando ut prædam sociis, cœnamq́; pararet,
De sue uel caprea, cornuta siue iuuenca,

τοῦ δ' ἀφαμαρτήσαντες ὕλας δ' ἐξήκετο νηὸς
λάθρα ἐπισπόμενος, σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ
ὕλῃ ἐνιπλαγχθείς, ἐν δὲ σπέος ἤλυθε νυμφῶν
λιμνακίδων, αἱ δέ σφιν ἐσαθρήσασαι ἰόντα
κοῦρον ἔτ' ἀντίθεον, κατερύκανον ὄφρα σὺν αὐταῖς
ἀθάνατός τε πέλῃ, καὶ ἀγήραος ἤματα πάντα.
ἀλλ' ὅτε πρὸς μεσάτην ἠῶ φέρεν ὠκέας ἵππους
ἠέλιος, κραιπνὸς δ' ἐξ οὔρεος ἔπνεεν οὖρος,
ἐν δ' ἔπεσ' ἀργενναῖς ὀθόναις τῖφυς δ' ἐγεγώνει
νηὸς ἔσω περάαν, θινὸς δ' ἐκ πείσματα λύειν.
οἱ δὲ κυβερνητῆρος ἐφημοσύναις ἐπίθοντο.
εἰλατίδης δ' ἀνὰ πρῶνα θοῶς πολύφημος ἔβαινεν,
ὄφρά κεν ἡρακλῆα θοῶς ἐπὶ νῆα καλέσσοι,
ἀλλ' οὔ οἱ ξύμβλητο, μολεῖν γάρ οἱ οὔτι πέπρωτο
φᾶσιν καλλίρροον μένος ὄβριμον ἡρακλῆος.
Αὐτὰρ ἐπ' ἠῶοι λυγρὴν ἐπεράσσομεν αἶαν,
ἔνθ' ἄμυκος βεβρύκεσσιν ὑπερφιάλοισιν ἄνασσεν,
ὅς τε πανομφαίου ζηνὸς θέμιν οὐκ ἀλεγίζων,
ἆθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων,
ὅστις ἐπὶ σταθμοὺς ἠδ' ἀστεμφῆ δόμον ἵξῃ,
θήκατο πυγμαχίης ὑπρόπλου πειρηθῆναι.
τὸν μὲν ἄρ' ἠΐστωσε βίῃ κρατερὸς πολυδεύκης
τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι.
λαοὺς δ' αὖ βεβρύκων μινύαι χαλκῷ κατένηραν.
ἔνθά δ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ δὲ καμόντες
βιθυνῶν μέγα ἄστυ πλατείῃ κέλσαμεν ἀκτῇ.

Dumq; subit late siluas clam puppe relicta,
Ponè secutus Hylas, prauisq; erroribus actus,
Peruenit infelix habitant ubi forte palustres
Speluncam nymphæ, uisum quæ protinus illum
Imberbem similemq; deis, rapuere sub undas,
Vt secum totos senii sit nescius annos.
Iam medio cursu rapidis altissimus ibat
Phœbus equis, resonant ualidæ de montibus auræ,
Carbasaq; alta petunt, iubet ergo intrare carinam
Exclamans Tiphys, & soluere littore funes.
At citus Elatides syluas Polyphemus inibat
Vt uocet Alcidem, celeremq; reducat ad Argò.
Verum haud occurrit, robur nam fata uetabant
Alcidem indomitum contingere Phasidos undas.
Ergo ubi telluris infaustæ liquimus oras,
Hic iam Amycus Bebrycensis habet crudelia regna
Gentis, & ætherium contemnens fasq;, Iouemq;,
Immane instituit contra hospita iura duellum,
Vt stabulum quisquis uel regia tecta subiret
In pugilem duris ineat certamina pugnis.
Hunc igitur strauit ui uasta robore Pollux
Percussa extemplo loris ceruice tremendis.
At Minyæ ferro Bebrycensia corpora cædunt.
Soluimus hinc, urbemq; in lato littore magnam
Remigibus lassis Bithynia tecta subimus.

σπεύδοντες προχοαῖς ἠδ' ἐν νιφάδεσιν ὕλαις,
ἑσπέριοι αὐλισθέντες ἐφοπλισάμεθα δόρπον.
ἔνθα τότ' αἰνόγαμος φινεὺς ὑπερήνορι θυμῷ
δοιοὺς ἐξαλάωσε γόνους προβλῆσι τὲ πέτραις,
θηρσὶν ἑλὼν προὔθηκε γυναίων εἵνεκα θέλξων,
τοὺς δὲ καὶ ἀσκηθεῖς ὀπωπότας αὖθις ἔτευξαν
παῖδε κλυτοῦ βορέου, φινεῖ δ' ἄρα ὤπασαν ἄτην
ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς.
Αὐτὰρ ἔπειτα ζαμενὴς βορέης στροφάδεσιν ἀέλλαις
ἁρπάξας ἐκύλινδεν ὑπὲρ δρυμὰ πυκνὰ καὶ ὕλας
βιστονίης, ἵνα κῆρ' ὀλοὴν καὶ πότμον ἐπίσπη.
Αὐτὰρ ἔπειτα φινῆος ἀγινορίδαο λιπόντες
αὖλιν, ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα
ἀγχοῦ κυανέαις πέτραις, ἅς μοι ποτὲ μήτηρ
ἡμετέρη κατέλεξε περίφρων καλλιόπεια.
οὐ γάρ οἱ ἐξυπάλυξις ὀϊζυροῖο πόνοιο,
ἀλλὰ καθειρυμέναι ἀνέμων ἀργῇσιν ἀέλλαις
ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλαισιν ἰοῦσαι,
δοῦπος τ' ἀμπέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανεν
ῥηγνυμένοιο κλύδωνος, ὀρινομένης τε θαλάσσης
κύματι παφλάζοντι περιβρέμει ἄσπετος ἅλμη.
ἀλλ' ἐγὼ ἀγνιώδη τάδ' ἀπὸ γλώσσης ἀγόρευσα,
πρύμναν ἔπειθ' ὁρόειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη.
τοῦ δὲ καὶ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ,
ἐν στέρνοισι δὲ κεῦθεν, ἅ οἱ τελέεσθαι ἔμελλεν
μοῦνος ἀφ' ἡρώων. ἀλλὰ γλαυκῶπις ἀθήνη

Hinc

Hinc iam fontis aquas, & siluis ligna niuosis
Poscimus hospitio, & sub noctem cœna paratur.
Perdidit hic geminos uibratis corde tumenti
Infelix Phineus petris sua pignora natos,
Obiecitq́; feris insano uxoris amore.
His autem uitam reddunt & lumina nati
De borea, Phineum grauis est iactura secuta.
Nanq; indignantes oculorum lumine cæcant,
Cum subito ualidis borea spirante procellis
Curuantur densæ nemorosa cacumina siluæ,
Vt lueret Bistonia lachrymabile fatum.
Hinc igitur miseri crudelia tecta tyranni
Linquimus, & uastas pelagi conscendimus undas
Cyaneas iuxta petras, quas optima matrum
Annumerans docuit quondam me Calliopea.
Hic ergo exitii uitandi nulla facultas,
Nanq; illæ aduersis uentorum flatibus actæ
Occursuq́; graues allidunt saxa gementi.
Hic strepitus late pelago, cœloq́; gementis
Præcipites resonant perruptis fluctibus undæ.
Ast ego tum tali ad Tiphym sermone locutus:
Ad puppim conuerte oculos, & cautius ito.
Sensit ubi hæc, gelidus tenuit præcordia sanguis,
Quicquid agat tamen arcano sub pectore cælat
Tum secum. sed enim Pallas consistere summa

ἤρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι
ἄκρην ἰσοκεραίαν, ὃ δ' ἀχαλόων πεπότητο,
πέτραις δ' ἐν μυχάταισιν ὑπὸ πτερύγεσσιν ἀερθείς,
δινεῦνται, ταὶ δ' αἶψα κραδαινόμεναι ἑκάτερθεν
σύμπεσον ἀλλήλαισι, καὶ οὐρῆς ἄκρον ἔκερσαν
ὄρνιθος. πρὶν δ' ἔσφιν ἐτώσιον ἠρείσαντο.
τίφυς δ' ἐκπρολιπόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον
σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο. τοὶ δ' ἀΐοντες
ἱέμενοι θοὰ κύμα θ' ὑπειρεσίῃσι χάρασσον.
Αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
πέτρας ἠλιβάτους, αἳ δ' ἀλλήλων ἀπόρουσαν,
κῦμα δ' ἀνερρόχθησε, βυθὸς δ' ὑποείκαθε νηῒ
ἡμετέρῃ πίσυνος κιθάρῃ διὰ θέσκελον αὐδήν.
ἀλλ' ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἵγε
βυσσόθεν ἐρριζοῦντο, καὶ ἔμπεδον αἰὲν ἔμιμνον,
οὕτω γὰρ μοῖραι τάδ' ἐπεκλώσαντο βαρεῖαι.
καὶ τότε δὴ προφυγόντες ἀδευκέα πήματ' ὀλέθρου,
ῥηβαιοῦ προχοαῖσι μέλαιν' ἐξικόμεθ' ἀκτὴν
νῆσον ὑπὲρ δολιχὴν θυνηΐδα, τῆς ἀπάτερθεν
τέμβριος ἰχθυόεις θαλεραῖς πλημμύρεται ὄχθαις.
σαγγάριος θ' ὃς κύματ' ἐπιβρέχει εὐξείνοιο.
ἀλλ' ὅτ' ἐπ' αἰγιαλῶν ἐπενηξάμεθ' εἰρεσίῃσιν
ἀμφὶ λύκοιος ῥέεθρον ἐκέλσαμεν, ᾧ ἔπι λαοῖς
κραῖνε λύκος ποταμοῖο φερώνυμος, ὅς ῥ' ὑπέδεκτο
ἥρωας μινύας, ξενίῃ δ' ὑπέδεκτο τραπέζῃ.

Imperat antenna uolucrem, ſic Iuno monebat,
Quæ uolat, & Minyis ſe triſtis Erodius infert,
Illa dehinc alis circa ultima ſaxa leuatis
Circuit, aſt petras concurſu mutuus horrens
Impetus alliſit, uolucris pars ultima caudæ
Attrita eſt, Minyæq; illam clamoribus urgent.
Tiphys ubi exitio uolucrem iam uidit ademptam
Dat ſignum tacitis heroibus. ocyus omnes
Accenſi fluctus acri tum remige pulſant.
Aſt ego diuinis ingentia ſaxa camœnis
Mulcebam, ſubita illa procul ſecedere uiſa.
Tunc exundarunt fluctus, ſublataq; noſtro
Carmine tunc Argo uaſti tulit æquoris unda.
Ergo ubi iam tranſgreſſa freti fuit ora tremendi
Cyaneasq; Argo petras, ſe protinus ægre
Ex imo ſtabiles monſtrant ſuper æquora fundo.
Sic nanq; è tetrica parcarum lege iubetur.
Tunc igitur læti fatum exitiale timentes
Ceruleas petimus Rhebani fluminis undas.
Hinc procul in longum tractæ Tyneidos arua
Tembrius irriguis fluuius facit humida ripis.
Sangarius ſubit hinc Euxini littora pulſans.
Aſt ubi remigio adiuti conſedimus oras
Vicinas Lyce magne tibi, quo nomine genti
Imperat, amplexu qui nos in tecta recepit
Rex Lycus, & Minyas fouit ſimul hoſpita menſa.

Φίλετο δ' αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί.
ἔνθα δ' αἶσα παρέχε καταφθίσθαι δύο φῶτας
ἀμπυκίδην ἴδμωνα κυβερνητῆρα τε τῖφυν,
τοῦ μὲν δὴ κατὰ σῶμα λυγρὴ ἠρείσατο νοῦσος,
τὸν δ' ἔκτανε θὴρ σῦς ἄγριος, αὐτὰρ ὅ τοῖς γε
τύμβους χευάμενοι, πολιὴν ἐπένησαν θαλλὴν,
ἀγκαίῳ πίσυνοι. τὴν γὰρ φάσαν ἴδριν ἅπαντες
ναυτιλίης σφετέρησι δαημοσύνῃσι κεκάσθαι.
Αὐτὰρ πηδαλίων οἰήια λάζετο χειρὶ,
νῆα κατιθύνων ἐπὶ παρθενίοιο ῥέεθρα,
ὃν δὴ καλλίχορόν μιν ἐπώνυμον οἳ καλέουσιν.
ὅν τοι ἐγὼ μύθοισιν ἐπὶ προτέροισιν ἔλεξα.
ἔνθεν ἄκραν προβλῆτα παραπλώσαντες ἔβημεν
γῆν ἐπὶ παφλαγόνων, τὴν δὴ παράμειψε θέουσα
ἀργὼ, ὑπὲρ μέγα λαῖτμα, καραμβιάκην δ' ἵκετ' ἄκρην.
ἧ ἔνι θερμώδων κεῖται, ἅλυός τε ῥέεθρον
βάλλον ἐπ' αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκον.
νέρθε δ' ὑποθρώσκουσι βορειάδος ἀντίον ἄρκτου
μακρὰ θεμισκύρης βοιωτίδος ἄψεα κεῖται,
ἄγχι δ' ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται.
καὶ χάλυβες, συβαρῆνατ' ἔθνη, λαοί τ' ἐπίχειρες
μίγδην ἐν μοσσύνοισι πέδον περιναιετάουσι.
λαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσι,
ἧ χίτε μαῦροι ἔσαν μαριανδύροισιν ὅμουροι.
νέρθε δέ τοι ἑλίκης δολιχὸς παρακέκλιται αὐχήν.
ἐνθάδ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται

Ipse dies noctesq; suum testatus amorem.
Hic quoq; parca duos Orco damnauit iniqua
Idmonaq; Ampyciden, clarũq; per æquora Tiphym,
Illum equidem morbi uis intempesta peremit,
Ast aper occidit ferus hunc, nos iusta sepulchri
Soluimus, & canas tum deinde reposcimus undas.
Credimus Ancæo puppim. nam quisq; magistrum
Nauigii, & pulchras callentem dixerat artes.
Suscipit hic igitur temonum lora manuq;,
Parthenium, ipse regens, Argò direxit in amnem,
Incola quem nitidis splendentem dicit ab undis.
Alloquor hunc, Tiphym fueram qua uoce locutus.
Emensa hic apicem scopuli tendentis in æquor
Cappadocas præter, cursu quoq; puppis eodem
Acta Carambiacæ tenuit confinia terræ.
Illic Thermodoon, & Halys perlabitur ingens,
Qui magno salsos inuadit turbine fluctus,
Lapsus ab Arctoæ Boreali uertice plagæ.
Longa Themiscyres regio, & Bœantidos oræ.
Hinc & Amazonidum turmæ panduntur equestres,
Et Chalybes, sociæq; manus Stybarena frequentant
Regna, & Mosynes iunguntur in urbibus una.
Conuersi ad leuam Maurorum accessimus oræ
Et Mariandinis uicinos uidimus agros.
Hinc Helices longum protenditur æquore collum.
Hinc quoq; littoreis ingens uallatur harenis

τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα κόλπου,
οὗ σύμης ὄρος ἐστὶ, πολύς τ' εὐθαλὴς λειμών,
ἔνθα δ' ἀράξου ῥεῦμα μεγαβρεμέτου ποταμοῖο,
ἐξ οὗ θερμώδων, φᾶσις, τάναΐς τε ῥέουσιν,
οὗ κόλχων κλυτὰ φῦλα καὶ ἡνιόχων, καὶ ἀράξων,
ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλέομεν ὅρμοις.
σύρων, χιδναίων τε, χαραδραίων, σολύμων τε,
ἀσυρίων τελέων, τρηχῶν δ' ἀγκῶνα σινώπης,
καὶ φιλύρας ναέτας τε καὶ ἄστεα πυκνὰ σαπείρων,
βύζηράς τ' ἐπὶ τοῖσιν, ἰδ' ἄξενα φῦλα σιγύμνων.
ἵκτο δ' ὑπὸ πνοιῇς ἀνέμου πλησίστιος ἀργὼ
ὄρθριον ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον,
ἕσπερ' ἐπ' ἀξείνου φᾶσιν κατὰ καλλιρέεθρον.
ἀγκαῖος δ' ἤνωγε παραιφάμενος ἐπέεσσι
λαίφεά τε στέλλειν, καὶ ἐπ' ἰκρίων αὖθι χαλᾶσαι,
ἱστὸν ἀνακλίναντας, ὑπ' εἰρεσίῃ δὲ νέεσθαι.
Αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα τρηχὺ ῥέοντος
ἱκόμεθ' αὐτίκ' ἄρα στέφανον καὶ τεῖχος ἐρυμνὸν
αἰήτου, κατέφαινε καὶ ἄλσεα, τοῖς ἐπὶ κῶας
χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ.
ὣς οἱ μὲν τὰ ἕκαστα πονήκατο, αὐτὰρ ἰήσων
αὐτίκα μέρμηρε κατὰ φρένα καὶ κατὰ θυμόν,
ξωνὴν μὲν μινύαισιν ἄδην ἀνεκείκατο φωνήν.
ἠέγ' ἐπ' αἰήταο μόλῃ δόμον οἶος ἀπ' ἄλλων
μειλιχίοις στέρξῃ τε παραιφάμενος ἐπέεσσιν,
ἠὲ μεθ' ἡρώεσσι καὶ ἐς μόθον αὐτίκα λεύσσοι.

Campus, & excelsæ despectant æquora ualles.
Mons Symus est urbs his, uiridanti gramine pratū
Arua secant uasto strepitu deuectus Araxes,
Thermodon, rapidus Phasis Tanaisq; fluentes,
Inclyta ubi Colchi gens, Heniochiq; & Araxæ
Progressi extremos portus, populosq; uidemus,
Vros, Chidnæosq;, Charandæos, Solymosq;,
Et iuxta Assyrios, dorsumq; immane Sinopes,
Et Philyras, Naëtasq;, atq; oppida densa Saperum,
Byzeras super hos, & inhospita rura Sigymnum.
His impulsa locis uentis afflantibus Argò
Fertur in immensum, tenebris fugientibus orbem,
Euxinum, occiduo dehinc Phasida sole uidemus.
Admonitos iubet hic Ancæus candida multo
Stringere demissis antennis carbasa nexu,
Malum æquare rati, puppimq; impellere remis.
Fluminis at postquàm tranquilla per ora recepti
Venimus hinc, muris Aeetæ cincta superbis
Regia spectatur, nemus & quo uellere pellis
Fuluo glandineæ fago suspensa nitebat.
Sic illi his cunctis intenti rebus agebant.
At secum Aesonides animo quàm multa uolutans,
Ad Minyas fidos comi sic uoce locutus.
Præstet an Aeetæ properare ad mœnia solum
Ab reliquis, blandoq; homini suadere laboret,
An secum sociis iunctis heroibus iret,

ἀλλ' οὐ γὰρ Μινύαισιν ἐπήνδανε πᾶσι νέεσθαι,
Δεῖμα δ' ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη
ἀμβολίην θ' ἵνα δὴ πλέσῃ τὰ πρὸ αἶσα γενέσθαι.
ὦκα δ' ἄρ' οὖλον ὄνειρον ἀπ' οὐρανοῦ ἧκε φέρεσθαι
εἰς δόμον αἰήταο. συνθεὶς δ' ὅγε δεῖμα πέλωρον
ἔσκηψεν βασιλῆα περὶ φρένας ὅσνιν ἔδοξε
παρθένου, ἣν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι
μηδείας κόλποισιν ἐν ἱμεροῖσι συνθῆναι,
ἀστέρα παμφανόωντα Διικερίοιο πορείης.
ἥδ' ἐπεὶ ἐν πέπλοισι λάβε κεχαρηότι θυμῷ,
ἧκε φέρουσ' εἰς χεῦμα εὐρύτου ποταμοῖο
φάσιδος, ἀστέρα δ' αἰὲν ἀναρπάξαντα ῥέεθρον,
οἴχεσθαι πόντοιο δι' ἀξείνοιο φέροντα.
ταῦτα δ' ἐσαθρήσας, δολίου ἐξέσυτο ὕπνου
ἀπροφανὲς, στυγερὸν δὲ περὶ φρένας εἵλκετο δεῖμα.
ἆλτο δ' ἄρ' ἐξ εὐνῆς, δμωσὶ δέ οἱ ὦκ' ἐπέτελλεν
ἵππους ἐντύνειν, ὑπὸ δὲ ζεύξασθαι ἀπήνην,
ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥέεθρον ἐραννὸν
φᾶσιν δινήεντα, σὺν ἐνδαπίῃς μίγα νύμφαις,
ψυχάς θ' ἡρώων ὅσαι τ' ἐπὶ ῥέεθρον ἄμειβον.
θυγατέρας δ' ἔκλυζε θεώδεος ἐκ θαλάμοιο
χαλκιόπην σὺν παισὶν, ἀποφθιμένου φρίξοιο,
ἠδ' ἁπαλὴν μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν
παρθένον αἰδοίην, ὄφρ' ἂν συνέποιντο κιόντι.
ἄψυρτος δ' ἀπάνευθε δόμους ναίεσκε πόληος.
ἅρμα δ' ἐπὶ χρύσεον ἔβη μίγα θυγατέρεσιν

Tum

Tum uero haud placuit Minyis ire omnibus unà.
Iusserat hoc etenim Iuno formosa timentes
Contantesq; suas fatis permittere habenas,
Quæ cito tunc etiam ferri per somnia iussit
Aeetæ exitium, uehemens hinc protinus omnem
Regalem cum mente domum concusserat horror.
Visus enim spectare sibi est ex æthere summo
Præfulgens charis occumbere uirginis astrum
Medeæ in finibus, propria quam nutriat aula.
Illa autem peplo accepto, gauisaq; tota
Mente ferens illud, latum peruenit ad amnem
Phasidos. ast raptum fluuii iam fluctibus astrum
Longius Euxini ponti de littore ferri.
Talia per somnum fuerant ubi uisa, repente
Erigitur, Stygiusq; tremor iam pectus obibat.
Exiliit strato, famulos iam frena iubebat
Constratis imponere equis, & iungere currus,
Vt ueniens placet peramati fluminis undas
Phasidos, atq; ipsi patrias cum gurgite nymphas,
Heroumq; animas, quotquot per flumen oberrant.
Inde suis iubet è thalamis accedere natas
Chalciopem & natos Phrixo iam cõiuge adempto,
Et teneram forma insignem, uultusq; rubore
Medeam, ut curru uectæ comitentur euntem.
Nã media Absyrtus procul hinc habitabat in urbe,
Aureus unà ipsum currus, natasq; ferebat

αἰήτης, τὸν δ' αἶψα δι' ἐκ πεδίου φέρον ἵπποι
χεῖλος ὑπὲρ ποταμοῦ Δονακώδεος, ἔνθα περ αἰεὶ
εὐχωλὰς ῥείθροισι, καὶ ἱερὰ κάλ' ἐκόμιζον.
κείναισι δ' ὄχθαισιν ὑπόδρομος ἤλυθεν ἀργώ,
καί ῥα τότ' αἰήτης εἰσέδρακεν, ἐν δ' ἄρα πολλοὺς
ἑξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας
ἀθανάτοις ἰκέλους. περὶ δ' ἔρ' ἑ τεύχεα λάμπε.
τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε Δῖος ἰήσων.
ἥρη τε περὶ πάμπαν ἐτίετο, καί οἱ ἔδωκε
κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον.
ἀλλ' ὅτε δὴ σχεδὸν ὄντες ἐπ' ἀλλήλοις βάλον ὄσσε
αἰήτης μινύαι τε, περὶ φρένα παχνώθησαν.
πρόσθε γὰρ αἰήτης μὲν ἐφ' ἅρματος ἠέλιος ὣς
λάμπετο μαρμαρυγαῖσι περὶ χρυσέων ἀπὸ πέπλων,
ἀμφὶ δέ οἱ στεφάνην κεφαλὴ ἔχε θυσανόεσσαν
ἀκτῖσιν φλογέαις, σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα,
ἀστεροπαῖς ἴκελον, λοιὼ δ' ἑκάτερθεν ἔστον
θυγατέρες, ταῖς γάρ κεν ἀγαλλόμενος πεφόρητο.
σμερδνὸν ὑπ' ὀφθαλμοῖσι δ' ἐσέδρακε, νηῒ πελασθείς,
καί οἱ ἀπὸ στηθέων βριαρὴν ἀνενείκατο φωνήν,
δεινὸν ὁμοκλήσας μέγα δ' ἀυτιάχων ἐγεγώνει.
φράζετον οἵτινες ἐστέ, τί δὲ χρέος ὑμᾶς ἱκάνει;
ἐκ πόθεν ἐλδομένοισι κυταιΐδα γαῖαν ἀμεῖψαι;
οὐδ' ἄρ' ἐμὴν ἀλέγοντες ἀνακτορίην πεφόβησθε,
οὐδὲ λεῶν σκήπτροισιν ἐπίξανον ἡμετέροισι
κόλχων, οἵκεν ἄρηϊ δορυσσόοι εἰσὶν ἀτειρεῖς.

Aeetem, huic rapido cursu sublimis equorum
Fertur arundinei fauces ad fluminis, illic
Ferre preces patriis undis, & sacra solebant.
Has autem ad ripas cursu peruenerat Argò.
Hanc ergo Aeetes conspexit, & ordine multos
Heroas unà in mediis considere transtris
Dis similes. nam pectora erant sua splendida cuiq;.
Verum inter cunctos præstans excellit Iason.
Huic etenim Iuno diuinum afflarat honorem,
Et dederat formam, & procero in corpore robur.
Cum propius starent, alternaq́; lumina ferrent
Aeetes Minyæq́;, grauem tulit ira dolorem.
At prius Aeetes splendenti Phœbus ut alter
E curru aurato longe radiabat amictu,
Serta caput circum radiis ardentibus illi
Ambibant, sceptrumq́; manu quatiente mouebat
Ceu fulgur, geminæq́; latus cinxere puellæ
Prælustres, gaudebat enim comitantibus illis,
Terribilis uero, & toruo quoq; lumine spectans,
Crudelesq́; minas clamanti excussit ab ore.

Dicite qui nam estis, uel quæ uos duxit egestas?
Vnde etiam causæ fuerunt mea regna petendi?
Nam neq; iura mei regni, nec sceptra timetis
Colchorum, aut studio flagrantia pectora nostri
Qui Marte indomiti quoties ad bella uocantur,

μόθον ἱεμένοις, εὖ εἰδότες ἶφι μάχεσθαι.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
αἰσονίδῃ δ' ἄρα θράσος ἐνὶ πραπίδεσσιν ὄπασσεν
ἥρη πρέσβα θεά. μέγα δ' ἀντιάχων ἐγεγώνει.
οὔτε νυ ληϊστῆρες ἱκάνομεν, οὔτε τιν' ἄλλην
γαῖαν ἐπιστρωφῶντες ἐγείρομεν ὕβριος αἴσῃ
ἔργ' ἀδίκ' ἀνθρώποισιν, ἃ δὴ πολέες μεμάασι
τετλάμεν ἐν βιοτῇ κέρδους ἕνεκεν σφετέροιο.
ἀλλά μοι ἆθλον ἔταξε ποσειδῶνος φίλος υἱὸς
πατροκασίγνητος πελίας χρύσεον ποτὶ κῶας
λαζομένους ἀφικέσθαι εὐκτιμένην ἐς ἰωλκόν.
οὐδέ τι δὴ νώνυμοι ἐμοὶ ἐρίηρες ἑταῖροι,
οἳ μὲν γὰρ μακάρων, οἱ δ' ἡρώων γένος ἐστὶ μὲν,
οὐδέ τι μὴν πολέμων ἀδαήμονες οὐδὲ μόθοιο,
ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέσιοι, ὡς γὰρ ἄμεινον.
Ὣς φάτο, τοῦ δ' ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ
αὐήτεω, καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσιν.
φρικτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.
ὀψὲ δὲ δὴ μινύαισι τοίην ἀνενείκατο φωνήν.
εἰ μὲν δὴ κόλχοισιν ἀρηϊφάτοισιν ἐσάντα
μαρναμένοις ἐπιθῆσθον, ἀποφθίσειν μένος ἀνδρὰς
ἔλπεσθ', ὥσπερ ἀδήριτον γέρας ἔσσετ' ἐν ὑμῖν,
κῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν.
εἰ δέ γε ταῦροι ἐόντες ὑποκλίνητε φάλαγγι
ἡμέτεροι, τότε νῆα καταφθιμένοισι κεάξαι.
εἰ δέ κ' ἐμοὶ πείθησθε, τὸ καὶ πολὺ κέρδιόν ἐστι.

Collatis patriam tutantur fortiter armis.
Sic ait: at cuncti tenuere silentia tristes.
Tum uero Aesonidæ fidentia pectora Iuno
Attulit, heroas nanq; ingens mœror habebat.
Nos neq; latrones ut uenimus, ulla'ue nostra
Sæua lacessitos iniuria reddidit hostes,
Mortales odio quæ iam fecere priores
Haud pauci, rapto lucrum sibi turpe parantes.
Sed neq; Neptunni brauium charissima proles
Constituit primus Pelias & uellera nacti
Aurea felices patriam repetamus Iolcon.
At nonnulla tenent socii mihi numina iuncti.
Nam sumus Heroum, aut nati de sanguine diuûm.
Sed neq; bellorum ignari, duri'ue laboris
Hospitio iungi petimus, nam deniq; præstat.
Sic ait, ast animum concussit flamma procellæ
Aeetæ similis, oculosq; intorsit acerbos,
Exitiumq; dolo Minyis meditatur iniquo.
Ad quos est tandem tali sermone locutus.
Si tanta in uobis animi uis Martia surgit
Vt contra instantes pugnaces fundere Colchos
Speretis, uobisq; ingens erit inde trophæum,
Vellera tollentes patrias deposcite terras.
Sin autem pauci nostra superante phalange
Cedetis, pœnas soluet confracta carina.
At mihi si qua fides, & erit magis utile uobis,

κρίναντες τὸν ἄριστον ἢ ὃς βασιλεύτερός ἐστιν,
ὄφρά κε πειρηθεὶς ἀέθλων, οὓς αὐτὸς ἐνίσπω
κῶας ἕλῃ χρύσειον, ὃ δὴ γέρας ἔσσεται ὑμῖν.
Ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο, τοὶ δ᾽ ἄρ᾽ ὀπίσσω
βῆσαν ἀμειβόμενοι. μινύαις δ᾽ ἄχος ἔπλετο θυμῷ.
καί ῥα τότε ἡρακλῆος ἔχον πόθον, οὐ γὰρ ἔμιμνον
ἔθνος ἀμαιμάκετον κόλχων, καὶ θούριον ἄρην.
νῦν δέ σοι ὦ μουσαῖε παραδρομάδην ἀγορεύσω,
οἷά περ αἰνόμοροι μινύαι πάθον, ἠδ᾽ ὅσ᾽ ἔρεξαν,
ὥς τ᾽ ἀφορρος ὄρουσ᾽ ἐκ δώματος αἰήταο
ἄργος ἐϋμμελίης φρίξου πάϊς, ὅν ῥα ἔτικτε
χαλκιόπη, τῷ γὰρ παρελέξατο πατρὸς ἐνιπῇ
ἡνίκ᾽ ὑπὲρ νώτῳ κριοῦ κόλχοισι πελάσθη,
ἀγγέλλων μινύαισιν, ἃ δὴ τελέεσθαι ἔμελλε
σφῆσιν ἀτασθαλίῃσι πολυφθόρου αἰήταο,
ἠδ᾽ ὡς παρθενίοις αὐτοῦ θέλγοις ἐδαμάσθη
αἰνόγαμος μήδεια θεᾶς ἥρης διὰ βουλάς.
ἐν γάρ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφη κυθέρεια,
ἧκε δ᾽ ἄρ᾽ ἦον ὑπὸ σπλάγχνοις δασπλῆτις ἐριννύς.
ὥστε βόας ζεύγλαισι δαμάσσατο πυρὶ πνέοντας,
τετράγυον θέμενος σπόρον αὔλακι, τόν ῥ᾽ ἐκόμισσε
φρίξος ἐϋμμελίης, ὅτ᾽ ἔβη δόμον αἰήταο,
ἔδνον ἐνυάλιόν τε δρακοντείων ἀπ᾽ ὀδόντων.
ἠδ᾽ ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν,
αὐτοφόνῳ παλάμῃ. πῶς δ᾽ ἀγλαὸν ἤρατο κῦδος
αἰσονίδης, ὥς τ᾽ ἦλθε διὲκ μεγάρων λελαθοῦσα.

Deligere è cunctis qui sit præstantior unum
Mens erit, ut subiens ego quæ certamina dicam
Aurea dona ferat, & uos honor iste manebit.
Sic dicens urgebat equos, uestigia retro
Illi iussa ferunt, Minyas dolor occupat altus.
Tunc ergo Alcides uotis deposcitur, illi
Non inuicta darent Colchorum pectora pœnas.
Nunc autem Musæ tibi præstrinxero, mœsti
Qualia pertulerint Minyæ, tum regis ab aula
Aeetæ rediens pugnax quæ dixerit Argus,
Quem Phrixo de patre tulit sibi iuncta puella
Chalciope in patriis laribus, quo tempore uectus
Arietis in tergo Colchorum ad littora uenit,
Nunciat hic Minyis quæ sunt uentura superbi
Stultitia Aeetæ scelerato & pectore regis,
Vtq; puellari infelix uratur amore
Medea, atq; astu Iunonis capta feratur.
Nanq; Cupidineo torquet Venus igne medullas,
Proximaq; hanc Stygio telo traiecit Erinnys.
Vtq; boues ignem spirantes sub iuga misit
Quadrifida, ut sulco dederit quæ semina Phrixus,
Gesserat Aeetæ ueniens bellator ad aulam,
Anguigenis dotem bellacem è dentibus actam,
Exosam ut segetem summas occidit aristas
Funesta Medea manu, sed gloria facti
Cesserit Aesonidæ, tenebris ut noctis opacæ

λῖτα καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην,
παρθένος αἰνολεχής. περὶ γὰρ ῥά ἑτεῖρον ἔρωτες
νηὸς ἐπ' ἀργώας πελάσαι, καὶ πότνι' ἀνάγκη
οὐδ' ἣν ὀπιζομένη πατρὸς χόλον οὐκ ἀλέγουσα.
ἠδ' ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφάς,
στέρνά τε μαιμώωσα κύσεν, χαρίεν τε πρόσωπον,
δάκρυσι πλημμύρουσα γενειάδας οὐδέ τιν' αἰδῶ
ἔσχε πόθῳ ἥρωας. ἐλαυνομένη δ' ὑπ' ἀλιτρῶν,
παρθενίην ἔρριψε, γάμων τ' εὐήνορα θυμόν,
ἄλλα τ' αὖ πολλὰ καὶ ἐσύστερον αὖθις ἀκοῦσαι.
ἀλλ' ὅτε δὴ μήδεια λίπεν δόμον αἰήταο
λαθριδίη, καὶ νηὸς ἐφ' ἡμετέρης ἐπελάσθη,
δὴ τότ' ἄρα κατὰ θυμὸν ἐμηδόμεθ' ὄφρα μολόντες
ἀμφ' ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
ῥᾶσα περὶ φρεσὶ δ' ᾗσι δοκεύομεν. οὐδέ τις ἡμῶν
ἔγνω μόχθον ἄελπτον, ἐφέσπετο δὲ μέγα ἔργον
πᾶσιν ἐφ' ἡρώεσσι, κακῶν δ' ἀνεφαίνετο πυθμήν.
πρόσθε γὰρ αἰήταο δόμων ποταμοῖό τ' ἐρυμνοῦ
ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην
φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν
ἑπτὰ περιστεφάνοισι κυκλούμενον, ἐν δ' ἄρα τρισσαὶ
χαλκήρεις πυλαί εἰσι πελώριοι, ἐν δ' ἄρα ταῖσι
τεῖχος ἐπιθρώσκει, περὶ δ' αὖ χρύσειαι ἐπάλξεις.
Αὐτὰρ ἐπὶ σταθμοῖο πυλῶν τηλωπὶς ἄνασσα
ἵσανεν αἰθύουσα πυρὸς σέλας, ἥν κένυ κόλχοι
ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται

Venerit infaustis pullo uelamine tecta
Auspiciis, furtim flammæ data uirgo furenti,
Et petiit celsam fatis urgentibus Argò,
Cum nullius erat non iræ cura paternæ.
Vt complexa nouas diuersa per oscula formas,
Pectoraq; attrectans personæ basia fixit,
Humectans lachrymis stagnantibus ora, pudorq;
Omnis abit, cupit heroas, percussaq; philtris,
Virgineum strauit poscens hymenæa pudorem.
Plura etiam fient posthac ubi cognita rursum.
Ergo ubi tecta ferox Medea paterna reliquit,
Venit & ad puppim gressu suspensa latenti,
Tunc multa inter nos quo pacto aut arte locuti
Aurea de sacra ferremus uellera fago,
Quàm facile is menti nostræ labor. at neq; quisquã
Tantum ausus sperare, noui nam plena timoris
Cuncta uidebantur, seriesq; immensa malorum.
Nam primũ ante domos Phasis prælabitur ingens,
Deinde nouem densus paries erectus in ulnas,
Turribus & solidis munitus uectibus ambit.
Septeni claudunt orbes, triplicesq; tuentur
Aeratæ ingentes portæ, supereminet altus
Murus, & auratæ decorant fastigia pinnæ.
Spargit inextinctas portarum limine in ipso
Sublimis regina faces, atq; inde Dianam
Ostia seruantem Colchi coluere, uiasq;,

Δεινή τ' ἀνθρώποισιν ἰδεῖν, δεινὴ δ' ἐσακοῦσαι,
εἰ μή τις τελεταῖς πελάσει, καὶ θύσθλα καθαρμῶν.
ὅσα περ ἀρήτειρα καθάσματα μύσις ἔκευθε
δεινολεχὴς μήδεια κυτηιάσιν μίγα κούραις.
οὐδ' ἔτις ἐν δοτέρῳ κείνην ὁδὸν εἰσεπέρησεν
ἐνδάπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας.
εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια,
λύσσαν ἐπιπλείουσα ὑπὲρ χαλινοῖς σκυλάκεσσιν,
ἐν δέ σφιν πυμάτων μυχῷ ἕρκεος ἄλσος ἀμείβει
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
δάφναι τ', ἠδὲ κράνειαι, ἰδ' εὐμήκεις πλατάνιστοι,
ἐν δὲ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν,
ἀσφόδελος, κλύμενός τε, καὶ εὐαδὴς ἀδίαντος,
καὶ θρύον, ἠδὲ κύπειρον, ἀριστερεών τ' ἀμενηνά,
ὅρμιόν τε, καὶ εἰρύσιμον, κυκλαμίς τε θεουδής.
ςοιχὰς, παιονίη τε κατηρυές τε πολύκνημον
μανδραγόρης, πόλιόν τ', ἐπὶ δὲ ψαφαρὸν δίκταμον,
εὔοδμός τε κρόκος, ἰδὲ κάρδαμον, ἐν δ' ἄρα κῆμος,
σμίλαξ, ἠδὲ χαμαίμηλον, μήκων τε μέλαινα,
ἄλκυα, καὶ πάνακες καὶ κάπασον, ἠδ' ἀκόνιτον.
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πεφύκει.
μέσον δ' ἠερόμηκες ἐπὶ ςύπος ἄλσεϊ πολλῷ
ἥπλωται φηγοῖο πέριξ κλάδεσσιν ἐρυμνόν.
ἐν δ' ἄρα οἱ χρύσειον ἐπεκρέματ' ἔνθα καὶ ἔνθα
ὄρπηκος τανάοιο δέρας, τό κεν αἶψα δοκεύει
δεινὸς ὄφις θνητοῖς ὀλοὸν τέρας οὐ φατὸν εἰπεῖν.

Ipſa oculis horrenda uiros, atq; auribus arcet,
Ni fuerit precibus ſacris placata peractis.
Quæ Medea ſciens libamina ſola ſacerdos,
Et ſociæ magno celant Cyteides aſtu.
Nec ciuis ueniens illuc quicunq; uel hoſtis
Interiora ſubit mortali limina greſſu.
Nam prohibet quacunq; uiæ dux, & dea cuſtos
Immittens rabiem catulis irata ſerenis,
Interior ſepes murorum circuit hortum
Vmbroſum arboribus late creſcentibus, illic
Cum cornis pulchræ laurus, plataniq; decoræ.
Hic etiam paruis tectæ radicibus herbæ
Aſphodelus, Clymenusq;, & pulchrior his Adiātus
Et Thryon imbellis, Ariſtereonq; Cyperonq;,
Hormion, Iryſimon, deuotaq; Cyclamis aris.
Stœchas, Pæonieq;, & ramo diuite creſcens
Mādragora, & Polion, ſubtilis Dictamus unà. (mus
Hic & odora Crocus, hic Cardamon, hic quoq; Ce=
Cumq; Chamæmelo Smilax, Mecon quoq; nigra,
Alcyaq;, & Panaces, & Capaſon atq; Aconitum,
Et quæ dira ſuis fert gramina terra uenenis.
In medio ſtipes fagi ſacer, arduus altum
Denſatur nemore, & ramis ſpatiantibus exit.
Hic igitur Phrixæa omni de parte refulgens
Aurea pendet ouis, ſerpens hic uellera circum
Peruigilat, dictu monſtrum mortalibus horrens.

χρυσαῖς γὰρ φολίδεσσιν ἐθείρεται, ἐν δ' ἄρα πρέμνον
ἀπλάτοις ὁλκοῖσι φρουρεύμενος ἀμφιπολεύει,
σῆμα χαμαιζήλοιο Διὸς, ποτὶ κῶας ἀμείβων
φρουραῖς ἀδμήτοις δ' ἐπιμαίεται ἄμμορος ὕπνου
γλαυκοῖς ἀμφ' ὄσσοισιν, ἀναιδέα κανθὸν ἑλίσσων.
Αὐτὰρ ἐπεὶ κλύομεν τό δ' ἐτήτυμον, ὡς ἐτέτυκτο,
ἀμφίγε μουνυχίης ἑκάτης φρουρῆς τε δράκοντος,
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως μήδεια,
διζόμεθ' ἡμεῖς ἄελπτον ὀϊζυροῖο πόνοιο
ὥς κένιν ἀγροτέρην μειλιξάμενοι πεπίθοιμεν,
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσωμεν ἑὴν ἐς πατρίδα γαῖαν.
καὶ τότε δὴ μετὰ πᾶσιν ὁμόκλεεν ἡρώεσσι
μόψος. ὁ γάρ τ' ἐδάη σφῆσι τάδε μαντοσύνῃσιν.
ὄφρ' ἐμὲ γουνάσσωνται ἐπισείωσι δὲ ἔργον,
ἄρτεμιν ἵλασθαι θέλξαι δ' ὑπερήνορα θῆρα.
ὣς οἱ μὲν λίσσοντο περισταδὸν, αὐτὰρ ἔγωγε
αἰσονίδην ἐκέλευσα δύω δὴ φῶτε κραταιὼ
κάστορά θ' ἱππόδαμον, καὶ πύξ ἀγαθὸν πολυδεύκεα
μόμψον τ' ἀμπυκίδην ἰέναι πατρὸς τέρματα μόχθου.
Αὐτὰρ ἐμοὶ μήδεια συνέσπετο μούνη ἀπ' ἄλλων.
ἡνίκα δ' εἰς σηκοὺς ἱκόμην ζάθεόν τε θεράπνην
χώρῳ ἐπὶ πλακόεντι βόθρον τρίσοιχον ὄρυξα,
φιτροὺς τ' ἀρκευθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου,
ῥάμνου τ' ὀξυτέροιο πολυκλαύτων τ' αἰγείρων
ὦκα φέρων, ἤνυσα πυρὴν ἔμπροσθε βόθροιο.

Nam tegitur fuluo corio, multisq; superbum
Amplexus truncum spiris ingentibus ambit,
Infernisq; Iouis signum pro uellere uexat
Indomitus custos, & somni nescius anguis
Sordida conuoluens humenti lumina tabo.
Ast ubi de cunctis ut erant uerissima rebus
Nouimus & tenebris Hecates custode dracone,
Omnia quæ nobis prudens Medea resoluit,
Poscimus in tanto & sine spe discrimine, sæua
Quo dea sit placanda modo, faueatq; rogata
Vt sit iter nemus in uastum, tandemq; recepto
In patrias læti redeamus uellere terras.
Tunc Mopsus iubet è cunctis heroibus unus,
Nam fuit ingenio uates. is doctus & arte,
Vt me supplicibus adigant ad munera uerbis,
Placantemq; deam, monstrumq; immane trahentē.
Sic illi orantes facta cinxere corona.
Iussi igitur geminos, fortem quoq; Iasona fratres
Pollucem pugilem, præsignem & Castora equestrē,
Mopsonq; Ampyciden loca poscere plena laboris.
At me tum ab reliquis solum Medea secuta est.
Post ubi contigimus aras, diuamq; Therapnen,
Effodi triplicem campi super æquora fossam.
Arceuthi truncos, fragmenta quoq; arida cedri,
Et Rhamni stimulos, & stridula ab arbore ramos
Quaq; legens, struxiq; pyras in margine fossæ.

πολλὰ δέ μοι φέρε πάμπαν ἐπισταμένη μήδεια,
φωριαμοῦ ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
αὐτίκα δ' οὐλαοπλάσμαθ' ὑπὸ πέπλους ἐπονεύμην,
ἂν δέ πυρὴν ἐπέβαλλον, ἰδ' ἔντομα θύματ' ἔρεζον,
σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύσας.
αἵματι δ' αὖ κάλχανθον ἰδὲ στρούθιον ἔμιξα
κνῆκοντε, σχιστὴν, ἐπί τε ψύλλιον ἀειδὲς,
ἄγχουσάν τ' ἐρυθρὴν, ἰδὲ χάλκιμον, αὐτὰρ ἔπειτα
νηδύας ἐμπλήσας σκυλάκων, φιτροῖσιν ἔθηκα.
ὕδατι ἐξ δ' αὔμας χολάδας χεόμην περὶ βόθρον
ὄρφνια θ' ἑσσάμενος φάρη, καὶ ἀπεχθέα χαλκὸν
κρούων ἐλλισάμην, αἳ δ' ὀτραλέως ἐπάκουσαν.
ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέθρου
τισιφόνη τὲ, καὶ ἀλληκτὼ, καὶ δῖα μέγαιρα,
πεύκαις ἀζαλέαις φόνιον σέλας αἴσσουσαι.
καίετο δ' αὐτίκα βόθρος, ἐσμαράγει δ' ὀλοὸν πῦρ.
λιγνὺς δ' αἰθαλόεσσα χύθη περιμήκετα καπνόν.
αὐτίκα δ' ἐξ ἀΐδαο διὰ φλογὸς ἠγέρθησαν
δειναὶ, θαμβήτειραι, ἀπηνέες, ἀπροσόρατοι.
ἡ μὲν γὰρ δέμας ἔσχε σιδήρεον, ἣν καλέουσι
πανδώρην χθόνιοι, σὺν δ' αἰολόμορφος ἵκανε
τρισσοκέφαλος, ἰδεῖν ὀλοὸν τέρας, οὔτι δακτὸν,
ταρταρόπαις ἑκάτη, λαιοῦ δ' ἄρ' ἐπέσσυθεν ὤμου
ἵππος χαιτήεις. κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι
λυσσῶτις σκυλάκη, μέσση δ' ἔφυ ἀγριόμορφος,
χερσὶν δ' ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα.

Multa quoq; ipsa mihi callens Medea ferebat,
Et sacri ex adyto capsam gestabat odoris.
Tum propere subter uestem simulacra peregi,
Imposuiq; ignem, congestaq; uiscera, sacram
Rem faciens, catulos nigra tris pelle locaui.
Sanguine miscebam calchantum & struthion illo,
Et schistam Cnecum, deforme his Psyllion addo
Chalcimon, Anchusamq; rubram, trunciq; subinde
Apposui uentres secto de corpore plenos,

Succinctus pullas, ferrumq; hostile lacernas,
Pulsabamq; rogans, dant illæ protinus aures
Lurida rumpentes funesti claustra barathri
Tissiphone, Allectoq; furens, & dia Megæra,
Succenduntq; faces in cædem & uulnera tetras.
Inuaditq; pyram flammis stridentibus ignis.
Et fumum ingentem flagrans dat in æthera nidor,
Cum subito inferna per flammam sede feruntur,
Crudelis nec uisa lues, facinusq; stupendum.
Corpora sunt illi de duro immitia ferro
Pandorenq; uocant, uariis dehinc horrida formis
Immanis nec mente capax monstrosaq; Ditis
Nata triceps Hecate, leua nam parte iubosus
Hinnit equus, dextra rabido canis æstuat ore
Exitiale malum, medio fera surgit agrestis,
Ensis utraq; manus acie distringit acuta.

ἐγκύκλιαι δὲ δινεῦντο περὶ βόθρον ἔνθα καὶ ἔνθα
πανδώρη, ἑκάτη τε, συνεσπεύοντο δὲ ποιναί.
ἐκ δ' ἄφαρ ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε
πεύκας ἐκ χειρῶν, ἐς δ' οὐρανὸν ἤειρεν ὄσσε,
σαῖνον δὲ σκύλακες πρόπολοι, λύοντο δ' ὀχῆες
κλείθρων ἀργυρέων, ἀνὰ δ' ἔπτατο καλὰ θύρετρα
τείχεος εὐρυμένους. ὑπεφαίνετο δ' ἄλσος ἐρυμνόν.
αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην, τῆμος δέ τε κούρη
αἰήτου μήδεια, καὶ αἴσονος ἀγλαὸς υἱός,
τυνδαρίδαι τ' ἤπειγον ὁμοῦ, σὺν δ' ἕσπετο μόψος.
ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐραννή,
κρηπίς τε ξενίοιο διός, καὶ βώμιος ἕδρη,
ἔνθα δράκων ὁλκοῖσιν ὑπὸ πλατέεσσιν ἑλιχθεὶς
δινεύων ἀνάειρε κάρα, βλοσυρόν τε γένειον,
ἂμ δ' ὀλοὸν σύριγξε. ἐπὶ δ' ἔβραχεν ἄσπετος αἰθήρ.
δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα
κρημνόθεν ἐκ ῥίζης, ἰάχησε δὲ σύσκιον ἄλσος.
αὐτὰρ ἐμ' ἠδ' ἑτάρους τρόμος ἔλλαβε, νόσφι δὲ μούνη
μήδει' ἐνὶ στέρνοις ἀκαμπέα θυμὸν ἐνώμα.
δρέψατο γὰρ παλάμῃσι λυγρῶν ἀποθρίσματα ῥιζῶν.
καὶ τότ' ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφήν,
κλάγξας δ' ἄρ' ἐξ ὑπάτης χέλυος καρυκχέα φωνήν.
σιγαλέως ἄφθεγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπον.
κλῇζα γὰρ ὕπνον ἄνακτα θεῶν, πάντων τ' ἀνθρώπων,
ὄφρα μολὼν θέλξειε μένος βριαροῖο δράκοντος.
ῥίμφα δέ μοι ὑπάκουσε, κυτηΐδα δ' ἦκ' ἐπὶ γαῖαν.

At circa

At circa foueam uarios ſinuantur in orbes
Pandore atq; Hecate, pœnarum hinc turba ſubibat
Quæq; faces cuſtos piceas immunda Dianæ
Mittit humi ſternens oculos, nec ad æthera tollit.
Lambunt ora canes innati. argentea iamiam
Clauſtra patent, pulchrasq; fores tum ſponte recludi
Portarum aſpiceres, oculi nemus omne pererrant.
Aſt ego tunc ipſo greſſus in limine fixi,
Medea inſequitur, & ſplendidus Aeſone natus,
Tyndaridæ, atq; unà celerant ueſtigia Mopſus.
Cum prope iam tanto fagus quæſita labore
Staret, & hic fundus Stygio ſacer, araq; regi,
Ecce draco, immenſos ſpiris facientibus orbes,
Attollens immane caputq;, genasq; frementes,
Sibilat horrendum, ſtrepuit conterritus aër,
Inſonuitq; arbor, radicibus omnis ab ipſis
Hinc atq; hinc cōcuſſa, ſtrepit nemus undiq; dēſum.
At me tum ſociosq; ſimul tremor occupat ingens,
Medeæ tantum mens uni interrita manſit,
Fruſtaq; cum triſti manibus radice reuellit.
Tunc ego diuinum modulatus pectine carmen,
Supremamq; chelym plectens & pollice chordam,
Dulcia de noſtris emiſi murmura labris,
Et ſomno laudes regiq; hominumq;, deûmq;,
Molliat ut ualidi, cecini, fera membra draconis.
Protinus audito uenit Cyteida cantu

κοιμίσσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοιάς, καὶ κύματα πόντου,
πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα,
θῆρας τ' οἰωνούς τε, τά τε ζώει τε καὶ ἕρπει
εὐνάζων ἄμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
ἷξε δ' ὑπὸ στυφελὸν κόλχων εὐανθέα χῶρον,
κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος,
ἰσοπαλὲς θανάτῳ, δολιχὴν δ' ἀμφ' αὐχένι δειρὴν
θῆκε καρηβαρέων φολίσιν. θάμβησε δ' ἰδοῦσα
αἰνόποτμος μήδεια, καὶ αἴσονος ἀγλαὸν υἷα
ἧκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι
κῶας χρυσεόμαλλον, ὁ δ' οὐκ ἀπίθησεν ἀθρήσας,
αὐτὰρ ἀειράμενος δέρας ἄπλετον, ἷκτ' ἐπὶ νῆα.
ἥρωες μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
ἀθανάτοις ἤειραν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ὡς οἱ μὲν περὶ κῶας ὀπώπεον. αἶψα δ' αἰήτης
ἀμφιπόλων ἤκουσεν ἀποιχομένην μήδειαν,
ὦκα δ' ἄρ' ἀψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν,
μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὄπατρον.
ἀλλὰ ὃς ὠκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
εἰς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νὺξ δὲ τότ' ἀστροχίτων μέσην παράμειβε πορείαν,
ἐκ δ' ἐτελεῖτο δόλος στυγερός, καὶ κῆρες ἀΐδναι
μηδείης ὑπ' ἔρωτος ἐρικλυτοῦ ἀψύρτοιο,
ὃν ῥα κατακτείναντες, ἐπὶ προχοὰς μεθέηκαν
ὀρνυμένου ποταμοῖο, φέρεν δ' ὅγε πνεύμασι κραιπνοῖς,

In patriam, ſopitq́; hominum mortalia corda,
Ventorum & ſtrepitus uaſtos, fluctusq́; marinos,
Vndantes fluuios, curſumq́; è fonte perenni.
Cumq́; feris uolucres, quod uiuit, repit, & omne
Collocat in lecto, & pennis præteruolat aureis.
Hic igitur Colchos, florentiaq́; arua popoſcit
Somnus, & horrentis inuaſit lumina monſtri.
Haud morti abſimilis, preſſũ caput applicat armis,
Subducens folles ingentia colla, ſtupetq́;
Medea infelix. tum protinus Aeſone natum
Incendens propere ex alto iubet aurea ramo
Vellera detrahere. accelerat non ſegnis Iaſon,
Exceptæq́; humeris fert pondera pellis ad Argò.
Exultant Minyæ heroës, alteq́; leuarunt
Ad cœlum ſuperosq́; manus & ſydera iunctas.
Vellera ſic illi circunſtant. protinus ergo
Medeam è ſeruis Aeetes audit abiſſe.
Hinc uocat Abſyrtũ, populumq́; & ad arma uocare,
Germanamq́; unà dat quærere iuſſa ſororem.
Phaſidos is rapido greſſu properabat ad undas,
Heroasq́; petit, audax ubi uirgo reperta.
Et iam nox medias curſu tranſegerat umbras,
Cum Medea dolis inſtructa, & amoribus ardens
Exitium fratri Abſyrto meditatur iniquum,
Et cæſum uaſti iaciunt in fluminis undas.
Gurgite quem merſum, rapiunt Nereides alto.

φθινόμενος δὲ δίναις εἰς κῦμ' ἁλὸς ἀτρυγέτοιο
κέλσεν ὑπὲρ νήσων, ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλ' ἄρα οὐχὶ λάθον Δί' ἐπόψιον, ἠδὲ θέμιστας.
αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἑκάπερθεν
ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίῃς δὲ θοῇσι
πλεῖον ἐπειγόμενοι ποταμοῦ τάμον, οὐχὶ κατ' εὐθὺ
πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα φάσιδος εὐρὺ
ἵεμεθ', ἀμπλακίῃ δ' ἐφορεύμεθα πολλὸν ὀπίσσω
αἰὲν ἀναπλείοντες, ἔλειπεν δ' ἄστεα κόλχων
ἀφραδέσι μινύαις, σκοτερὴ δέ τε ἀμφ' ἔχεν ὄρφνη.
Αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι
μεσσάτιοι πεδίοιο, βροτοὶ δέ μιν ἀμφινέμονται
γυμνοὶ, βουνόμαι τε, καὶ ἄρκυες ἀγροιῶται,
κερκετικόν τ' ἀνδρῶν φῦλον, σιντῶν τ' ἀγερώχων.
οἳ μήσαντο μεσηγὺ χαρανδαίων τ' αὐλώνων
καυκάσιον παρὰ πρῶνα, διὰ στεινῆς ἐρυθείας.
ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠὼς
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἔνθα δὲ δισσοὶ
χεύμασιν ἀπλώτοισι περιχίζουσι ῥέεθρα
φᾶσις τ' εὐρυμενὴς, ἀκαλαρρείτης τε σαράγγης,
τὸν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
μαιῶτις καναχηδὸν ἑλειονόμου διὰ ποίης.
καὶ τότ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα, καὶ ἦμαρ,
δισσαῖς δ' ἐν τριμόροισι βοὸς πόρον ἐξικόμεσθα
λίμνης, ὅν τε μεσυγύβοο κλόπος οὔποτε ἧταρ
ταύρῳ ἐφεζόμενος βριαρῷ πόρον ἔσχισε λίμνης.

Illum autem sæuis è fluctibus insula tandem
Allisum excepit, quam nunc Absyrtida dicunt.
Sed neq; fas, neq; cuncta deum latuere uidentem.
Tunc propere insiliunt puppim, ferroq; rudentes
Vtrinq; abscindunt trepidi, sed deuius errat,

A ponto auertit, nec fluminis ora deorsum
Poscimus, ac scelere obducti contraria duro
Remigio sulcant Colcho tellure relicta
Lymphati Minyæ, cæcosq; profunda premit nox,
Et medios fluxus stulti ignariq; locorum
Currimus. at loca plena colunt ea maxima circum
Gymni, Buonomæq;, & agrestes Arcyes unà,
Cerceticiq;, ferox ea gens, Sintiq; superbi,
Sparsa Charandæas per ualles tecta frequentant
Caucaseas iuxta rupes, artamq; Erythiam.
Sed cum mane rubens orbis proferret eous
Insula pœanthe fessos excepit, at illam
Aduersos remis circundant flumine cursu
Ingenti Phasis, tranquilloq; amne Saranges,
Quem stagnante palus Mæotis gurgite latum
Sparsa per irriguos transmittit in æquora campos.
Tunc ergo obnixi remis noctesq; diesq;
Currimus hinc fauces cogentem Bosphoron arctas,
Transilimus tauro Titan ubi fortiter usus
Traiecit fluuium facientia stagna palustrem.

καί ῥα πανημερίῃσι πονεύμενοι εἰρεσίῃσι
μαιώτας πρώτας ἀφικάνομεν ἀβροχίτωνας,
ἠδὲ γελωνὸν ἔθνος, βαθυχαίτων τ᾽ ἄπλετα φῦλα,
σαυρομάτας τε, γέτας τέ κε γυμναίους, κέκρυφάς τε,
ἄρσωπάς τ᾽ ἀριμάσθας ἔθνη πολυπήμονα λαῶν,
ὧν περιναιετάει ἐν γῇ μαιῶτιδα λίμνην.
Αὐτὰρ ἐπεὶ κέντοισι δύην ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, πύματον δὲ βυθοῦ διαμείψαμεν ὕδωρ
ὄχθῃσι χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον
ῥοίζῳ ἐλαυνομένη, καναχεῖ δέ τοι ἄσπετος ὕλη,
ἀρκτῴοις πρὸ ἄπασιν ἐπέρχεται ὠκεανόνδε.
τῷ ῥά τότ᾽ ἁρπαχθεῖσα διὰ στόματος κίεν ἀργώ.
ἐννέα μὲν νύκτας τε καὶ ἤματα μοχθίζοντες,
λείπομεν ἔνθα καὶ ἔνθα βροτῶν ἀπηνέα φῦλα
πακτῶν ἀρκτείων τε γένος, λελίων τ᾽ ἀγερώχων,
τρεφοφόρους τε σκύθας ἄρεος πισοὺς θεράποντας,
ταύρους τ᾽ ἀνδροφόνους, οἳ ἀμειδέα θῦθλα φέρουσι
μουνυχίῃ, βροτέῳ δ᾽ ἐπιλεύεται αἵματι κρητήρ,
ἂν δ᾽ ἄρ᾽ ὑπερβορέους νομάδας, καὶ κάσπιον ἔθνος.
Αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ᾽ ἄφαρ ἀργὼ
ἆγεν ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου,
ἔμπεσε δ᾽ ὠκεανῷ, κρόνιον δέ ἑ κικλήσκουσι
πόντον ὑπερβορέην μέροπες, νεκρήν τε θάλασσαν.
οὐκέτι δὲ προφυγεῖν ἐδοκεῦμεν λυγρὸν ὄλεθρον,
εἰ μὴ ἄρ᾽ ὁρμαίνουσαν ὑπὸ κρατερῆφι βίηφι

Hinc iam remigio longos faciente labores
Mœotas tunicis primo contingimus altis,
Finibus & uastis immenso crine Gelonos,
Sauromatasq́ꝫ, Getasq́ꝫ, Gymnæos, Cecryphasq́ꝫ,
Arsopasq́ꝫ feram gentem, sæuosq́ꝫ Arimasthas,
Qui positas habitant circum Mæotida terras.
Ast ubi inexhausto contristauere labore
Nos superi, & uastæ uada sunt transmissa paludis,
Vix tandem exitio eripimur, pulsantibus Argò
Demissis tabulis, & iam stridente carina.
Inde sub Arctois angusto rapta meatu
Finibus oceanum uersus prolabitur Argò,
Defessi noctesq́ꝫ nouem, totidem quoqꝫ soles
Linquimus hinc atqꝫ hinc ignotas nomine gentes,
Pacton, Arctæonq́ꝫ genus, Leliosq́ꝫ feroces,
Belligerosq́ꝫ Scythas, deuotaq́ꝫ pectora Marti,
Funestos tauros crudelia sacra ferentes
Diuæ Hecatæ, humano complent cratera cruore,
Quin & Hyperboreos Nomadas, & Caspia claustra.
Atqꝫ ubi diua diem iam clarum aurora reuexit,
Rhiphæas ualles attingimus, inde repente
Prosilit angusti puppis per littora ponti,
Oceanumq́ꝫ intrat, Saturnius ipse uocatur
Pontus Hyperboreis à gentibus, & mare mortuum,
Vnde etiam lethum fugiendi nulla fuit spes,
Ni puppim ualidis Ancæus uiribus actam,

νῆα μολεῖν ἰθὺν ἐπὶ δεξιὸν αἰγιαλοῖο
ἀγκαῖος, ξεστοῖσι πιθήσας πηδαλίοισιν.
ἡ δ᾽ ἔθορεν δισσαῖσι βιησαμένη παλάμῃσιν.
ἀλλ᾽ ὅτε δὴ μογεροῖσιν ἐδαμνάμεθ᾽ εἰρεσίῃσι,
χεῖρες δ᾽ οὐκέτ᾽ ἔμιμνον, ἀνεκχέμενοι δὲ φίλον κῆρ
πήχεας ἀμπλέξαντες, ἀνεστήσαντο μέτωπα
ἱδρῷ ἀναψύχοντε, κέαρ δ᾽ ἐπεπείρετο λιμῷ.
ἀγκαῖος δ᾽ ἐξ ἄλλων, καὶ ἄλλους πάντας ὄρινεν
ἥρωας, μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
οἱ δ᾽ ἐπεὶ οὖν τέναγός τε πολυστρέπτοισι κάλωσι
βάντες ὑπὲρ τοίχων ἅλα δὲ σφυρὰ κοῦφα βάλοντο,
ὦκα δ᾽ ἄρ᾽ ἀρτήσαντο πολυστρέπτοισι κάλωσι,
πρύμνης δ᾽ ἐξ ὑπάτης δολιχὴν μήρινθα βαλόντες,
ἄργος τ᾽ ἀγκαῖός τε, καὶ ἀρχὰς δῶκαν ἑλέσθαι
ἡρώων, τοὶ δ᾽ αἶψα διὶ αἰγιαλοῖο θέοντες,
σῦρον ἐπειγόμενοι. σὼ δ᾽ ἕσπετο ποντοπόρος νηῦς
τέμνουσ᾽ ὑγρὰ κέλευθα παρὰ ξυστοῖς κροκάλοισιν.
οὐ γὰρ ἐ λιγὺς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε
βυκτάων ἀνέμων κλεινὴν ἅλα, κωφὰ δὲ πόντος
κεῖθ᾽, οὔπω θ᾽ ἑλίκης καὶ τηθύος ἔσχατον ὕδωρ.
Αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
ἔθνος ἐς ἀφνειὸν, καὶ πλούσιον ἐξικόμεσθα
μακροβίων, οἳ δὴ πολλέας ζώουσ᾽ ἐνιαυτοὺς,
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων
πληθούσης μήνης, χαλεπῶν ἔκτοσθεν ἁπάντων,
αὐτὰρ ἐπεὶ μίωος τὸ πεπρωμένον ἐξανύσωσιν.

Innixus

Innixus pulchra temonibus arte dolatis
Dextra coëgisset cursum per littora ferre.
Prosilit hinc geminis sudanti remige palmis.
Sed domitos longo remorum deniq; pulsu
Linquebat iam fessa manus, iam tristia corda,
Brachiaq; innexum durata fronte plicamus.
Torquet dura fames, & sudor multus anhelos.
Tum saltu rapitur de puppe Ancæus, & omnes
Mollibus hortatur heroas fidere uerbis.
Qui postquàm cum puppe locum tenuere palustrẽ,
In mare de summa saliunt per littora naui,
Funibus ac subito longis à puppe reductis
Extremo annexam deducunt molliter Argò
Argus & Ancæus, Minyis dant deinde rudentes
Tendendos reliquis. rapiunt per littora cursu
Veloces, sequiturq; illos non tarda carina,
Stagnantesq; undas lapidoso in littore sulcat.
Nanq; illud nulli feriunt spirantibus auris
Indomiti pelagus uenti. perstat mare surdum,
Dictaq; pars Helices, & Tethyos ultima regni.
Ast ubi sexta dies roseo cum lumine uenit,
Venimus ad dites, omniq; ex parte beatos
Macrobios, facilem qui uitam in longa trahentes
Secula, millenos implent feliciter annos,
Immunes uitiiq; omnis, sortisq; malignæ.
Verum ubi fatales æquarunt tempore parcas,

ὕπνῳ ὑπὸ γλυκερῷ θανάτου μάρπτουσι τελευτήν.
οὐδ' ἄρα τοῖσι μέλει βίοτος, καὶ ἔργ' ἀνθρώπων,
ποίαις δ' ἐν μεσάταις μελιηδέα φέρβα νέμονται,
ἕρσῃ ὑπ' ἀμβροσίῃ θεῖον ποτὸν ἐξαρύοντες.
πάντες ὁμῶς στίλβοντες ὁμηλικίην ἐρατεινήν,
μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι νεῦσε γαλήνη
πατράσιν, ἠδὲ τοκεῦσιν ἐπὶ φρεσὶν, ἠδὲ νόοιο,
αἴσιμά τε ῥέζειν, πεπνυμένα τ' ἐξαγορεύειν.
καὶ τοὺς μὲν ῥ' ἀθρόους παραμείβομεν αἰγιαλὸν δὲ
ποσσὶν ἐπιστείβοντες. ἔπειτα δὲ κιμμερίοισι
νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριβρόμου ἠελίοιο.
ἐν μὲν γὰρ ῥίπαιον ὄρος καὶ κάλπιος αὐχὴν
ἀντολίας εἴργουσ', ἐπικέκλιται δὲ πελώρη
ἄσσον ἐπισκιάζουσα μεσημβριὸν ἥγε φλέγρη,
δείελον αὖ κρύπτουσι φάος, τ' ἀνυωκέες ἄλπεις
κείνοισι μερόπεσσιν, ἀχλὺς δ' ἐπικέκλιται αἰεί.
ἔνθα δ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν
ἵξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτήν.
ἔνθα περ ἀμβλύζων ποταμὸς δείναισι βαθείαις
θείει χρυσορρόας ἀχέρων κρυεροῦ διὰ χώρου,
ἀργυροειδὲς εἶδος προρρέων, λίμνη τε κελαινὴ
ἀνδέχεται, παταγεῖ δὲ παρ' ὄχθαισι ποταμοῖο
δένδρεα τηλεθάοντα ποτὶ χεδὸν, οἷσι καρπὸς
βέβριθε νύκτας τε, καὶ ἤματα συνεχὲς αἰεί.
ἀμφὶ δέ οἱ χθαμαλή τε, καὶ εὔβοτος ἑρμιονία.

Tum somno capiunt, & dulci morte quietem.
Non illis hominum sunt ulla negocia curæ,
Sed capiunt dulcesq; cibos terrestribus herbis,
Ambrosiumq; bibunt succum de rore perenni.
Pars illos decorat ætatem splendor in omnem,
Arridentq; illis facies, oculiq; sereni
Patribus ac pueris. tum uero menti animoq;
Iustitiæ cultus, & inest prudentia uerbis.
Hos igitur densos percurrimus, ipsa pedestri
Littora transigimus gressu. tum Cimmeriorum
Velocem ad littus nauem propellimus, hi sunt
Phœbææ totos expertes lampadis annos.
Nam mons Rhiphæus, & uertex Calpius illinc
Nascentem auertunt solem, densissima phlegre
A medio uastas consurgens porrigit umbras
Vsq; die, radiosq; omnis regionibus illis
Continua immersis adimunt caligine solis.
Digressi hinc igitur, pedibusq; ea littora mensi,
Venimus ad scopulum fortem, littusq; serenum,
Vorticibus fluuius decurrens inde profundis
Aureus è gelidis Acheron perlabitur oris.
Hunc primum uitreis currentem intersecat undis
Nigra palus, raucoq; sonant hinc murmure ripæ.
Densa per has uiridi sunt fronde arbusta, feruntq;
Assiduos fluctus noctesq; diesq; per omnes,
Statq; humilis circum uesci utilis Hermionia.

τείχεσιν ἠερίησαι ἐϋκτιμέναις ἐπ' ἀγυιαῖς.
ἐν δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων,
οἷσιν ἀποφθιμένοισιν ἅλις ναῦς ἴα τέτυκται,
καὶ δ' αὖ αἱ ψυχαὶ μετεκίαθον εἰς ἀχέροντα
πορθμίδος ἐκ γλαφυρῆς. σχεδόθεν δέ οἱ εἰσὶ πόληες,
ἄρρηκτοί τ' ἀΐδαο πύλαι, καὶ δῆμος ὀνείρων.
ἀλλ' ὅτε δὴ καὶ τῶνδε πόλιν καὶ ἤθεα λαῶν
σφῇ ἄτῃ βαρεῶν οἶτον ἀναπλώσαντες ἔβημεν,
δὴ ῥα τότ' ἀγκαῖος νηὸς κίεν, αἶψα δὲ πάντας
εἰσβαίνειν ἐκέλευσε κεκμηκότας ἄμμιγ' ἑταίρους.
τοὺς ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι.
τλῆτε φίλοι τὸν μόχθον, ἐπεὶ νύ τι οὐκέτι χεῖρον
ἔλπομαι ἀντήσεσθαι. ἐπιφρίσσοντα γὰρ ἤδη
ἀκραῆ ζέφυρον καταδέρκομαι, οὐδ' ἀτέκμαρτον
ὕδωρ ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν,
ἀλλὰ θοῶς ἱστὸν μὲν ἀναστήσασθε μεσόδμῃ,
λύσατε δὲ προτόνων ὀθόνας, ἐκ δ' ὅπλα χέοντες
σφίγξατ' ἐπισταμένως, τοίχων ἑκάτερθε βαλόντες.
ὣς οἱ μὲν τὰ ἕκαστα πονείατο. ἐκ δ' ἄρα κοίλης
νηὸς ἐπιβρομέουσα τρομαριὰς ἔκλαγε φηγός,
ἥν ποθ' ὑπ' ἀργῴαισι τομαῖς ἡρμόσατο παλλάς.
ὧδε δ' ἔφη. θάμβος δὲ περὶ φρένας ἵκετο πάντας.
ὤμοι ἐγών, ὄφελόν με διαρρεχθεῖσαν ὀλέσθαι
κυανέαις πέτραισιν ἐν ἀξείνῳ τε κλύδωνι,
ἢ ἐν νῶν ἀνάπυστον ἀϊδρείῃ βασιλήων
νώνυμνον φορέεσκον, ἐπεὶ νῶν αἰὲν ἐρινύς.

Ornat & hic muris uicos appensa, uiasq;.
His quoq; gens oris hominum iustissima uiuit
Ipsa quibus satis est nauis morientibus una.
Nanq; animæ tenui uectæ per flumina cymba
Traiiciunt ripas, uisuntur protinus urbes,
Inferniq; fores ualidæ, somnusq; profundus.
Ast ubi iamq; hominum mores, & nouimus urbem
Magno infelices ea mensi littore damna,
Tum propere Ancæus nauem petit ocyus omnes
Defessos, quamuis conscendere iussit amicos,
Ad quos est uerbis blandis quoq; pauca locutus.
Nunc etiam durate uiri, labor ultimus hic est,
Quo nec iam grauior succedet. iamq; ego claros
Aspicio Zephyri flatus, stridentq; per undas
Oceani mihi non ignotæ fortius auræ.
Sed propere malum media firmate carina.
Soluite uela suis de funibus, arma parantes
Ordine dextra, latus prudens exornet utrunq;.
Sic illi peragunt certatim cuncta, sed imo
E fundo resonans dat uocem concita fagus,
Argolica Pallas secuit quam diua bipenni,
Atq; ait. ast circum stupor inde inuaserat omnes.
Heu me, nanq; utinam collisa & perdita dudum
Cyaneis petris Euxini in fluctibus essem,
Quàm nunc stultitia regum hæc obprobria nunquã
Credita perferrem. nam me fera semper Erinnys

αἵματος ἐμφύλοιο δεδουπότος ἀψύρτοιο
ὑστερόπους ἕπεται, στέργει δέ τοι αὐτὴ ἐπ' αὐτήν.
νῶν γὰρ δὴ λυγρῆς τε καὶ ἀργεννῆς κακότητος
ἵξομαι εἰ νήεσσιν ἐριννύσιν ἆσσον ἵκωμαι.
εἰ μὴ γάρ μ' ἱερῇσιν ἐπιγνάμψαντες ἀκρῇσι
κόλπον ἔσω γαίης τε, καὶ ἀτρυγέτοιο θαλάσσης
ἵξεσθ' ἀμπέλαγος ἀτλαντικὸν ἐκτὸς ἵκωμαι.
Ὣς εἰποῦσ' αὐδὴν κατερήτυεν. ἐν δ' ἄρα θυμὸς
πυκνώθη μινύαισι διαμπερὲς, εἶτ' ἄρ' ἔμελλον
χήσειν λυγρὸν ὄλεθρον ἰάσονος εἵνεκα φίλτρων.
πολλὰ δὲ μερμήριζον ἐνὶ φρεσὶ πευκαλίμοισιν
ἢ μὲν ἀποφθίσωσι, καὶ ἰχθύσι κύρμα βάλωσιν
αἰνολέχην μήδειαν, ἀποστρέψωσι δ' ἐριννύν.
εἰ μὴ ἄρ' ὀξὺ νόησε περικλυτὸς αἴσονος υἱός,
καὶ τόπε λισσόμενος θυμὸν κατερήτυ' ἑκάστου.
Αὐτὰρ ἐπεί τ' ἀργοῦς ἐτυμηγόρον ἔκλυον ὀμφὴν,
ἧντο παρὰ σκαλμοῖσι θοῶς λάζοντο δ' ἐρετμά.
ἀγκαῖος δ' οἴακας ἐπισαμένως ἐτίταινε.
πὰρ δ' ἄρα νῆσον ἄμειβεν ἰερνίδα, καί οἱ ὄπισθεν
ἷκτο καταίγδην δνοφερὴν τρομέουσα θύελλαν.
ἐν δ' ὀθόνας κόλπωσε. θέεν δ' ἄφαρ ὑγρὸν ἐπ' οἶδμα
νηῦς, οὐδ' ἤτις ἐσαῦθις ἀναπλεύσεσθαι ὀλέθρου
ἤλπετο. δωδεκάτη γὰρ ἐπήιεν ἠριγένεια,
οὐδέ τις ἔγνω ᾗσιν ἐνὶ φρεσὶν, οἵποτ' ἄρ' ἔσμεν
εἰ μὴ ἐχαλιαῖς ἀκαλαῤῥόου ὠκεανοῖο
λυγκεὺς εἰσενόησεν, ὃ γὰρ τηλωπὸν ὄπωπε.

Absyrti effuso cognati sæua cruore
A tergo insequitur, damnis quoq; damna grauãtur.
Has igitur cæsi pœnas, sceleris'q; nefandi
Perfero fatales nunc huc impulsa per undas.
Quin uos me scopulis sacris immittite terræ,
In'q; sinus nostros pelagi perducite nostri,
Oceanum'q; extra, atq; Atlantica monstra feratis.
Sic effata premit uocem. tum funditus omnis
Vis animi Minyis obtorpuit, horrida fata
Aesonidæ nimios passuri propter amores,
Multa'q; per sensus uoluunt in pectore amaros,
An sæuam ferro perimant, & piscibus escam
Medeam iaciant, retro & uertatur Erinnys,
Ni cito sensisset super inclytus Aesone natus,
Flexisset'q; iram, atq; animos cuiusq; precando.
Postquàm Argus uocem uera audiuere loquentis,
Consedere citi in transtris, remos'q; tulere.
At multa Ancæus temonem dirigit arte,
Iusula'q; ante omnes offertur Iernis, & Argò
Insequitur metuens atram non stulta procellam,
Vela'q; franguntur. currit tamen illa per æquor
Anxia, nulla iterum fugiendi deniq; lethi
Spes erat, & duodena dies iam fluxerat, ex quo
Ignari uehimur quibus erraremus in oris.
Sed tamen Oceani extremo nos margine ferri
Cognorat Lynceus, conspecta quoq; eminus illi

νῆσον πευκήεσσαν, ἵν' εὐρέα δώματ' ἀνάσσης
Δήμητρος, περὶ δ' αὐτε μέγα νέφος ἐστεφάνωται,
ὧν πέρι μῦθον ἅπαντ' ἔκλυες, Μουσαῖε δαΐφρον.
ὥς ποτε Φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν
ἐξάπαφον συνόμαιμοι ἀν' εὐρύ τε, καὶ μέγα ἄλσος.
Αὐτὰρ ἔπειθ' ὥσμιν πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος, κούρην ἐπεβήσατο δαίμονος αἴσῃ,
ἁρπάξας δ' ἔφερεν διὰ κύματος ἀτρυγέτοιο.
δὴ τότ' ἐγὼ ἀπόειπον ἐπιπλώων τανέεσθαι
νήσου ἐπὶ ῥηγμῖνα, καὶ αἰγλήεντα τέρεμνα,
ἔνθ' οὔτις σὺν νηῒ παρὰ μερόπων ἀνθρώπων.
οὐ γάρ οἱ ἐστὶ λιμὴν νηῶν ὀχὸς ἀμφιελισσῶν,
ἀλλά γε ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
ὑψηλή, τά τε καλὰ φύει μενοεικέα δῶρα.
καὶ τότ' ἄρ' οὐκ ἀπίθησε νεὸς κυανοπρῴροιο
ἰθύντωρ Ἀγκαῖος, ἀνέρεχε δ' αἶψ' ἀνορούων,
σκαιὸν ὑπεγκλίνας οἰήϊον, ἐν δ' ἄρ' ἔπειθε
μῆτι κατ' εὐθὺ περᾶν, ἐπιδέξια δ' ἦγε θέουσαν.
ἤματι δὲ τριτάτῳ κίρκης δόμον ἐξικόμεσθα
λυκαῖον ποτὶ χέρσον, ἁλιστεφέας τε θεράπνας.
καὶ τότ' ἄρ' αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ,
πείσματα δ' ἐν πέτρῃσιν ἐδήσαμεν, ἐκ δ' ἄρ' ἰήσων
νηὸς ἀποπροέηκε μολεῖν ἐρίηρας ἑταίρους,
διζόμενος τίς ἄρ' ἀνθρώπων ἀν' ἀπείρονα γαῖαν
ναιετάει, γνῶεν δὲ πόλιν, καὶ ἤθεα λαῶν.
τοῖς δ' ἄφαρ ὡμάρτησε κατάντιον ἐρχομένοισι

Inſula Peuceeſſa. Cereris regalia ſunt hic
Ampla deæ, & nubes hæc circunfuſa coronat,
Quorum quæcunq; eſt ex me tibi fabula conſtet.
Perſephonen ſoliti ut teneram dum ſedula flores
Colligit in magno germani fallere luco
Nauigio uectus, ſed equis ubi frena iuboſis
Imponens, uidit parcarum fœdere Pluto
Vi flentem rapuit, traxitq; Atlantis in æquor.
Nunc deſperatum eſt nos poſſe optata tenere
Littora, ſiue ullos contingi hic deniq; fines,
Ad quæ non ullæ uertunt ſua lintea puppes.
Nam neq; clauſa palus pontum uenientibus offert,
Sed ſcopuli circum, porrectaq; ſaxa feruntur
In pelagus, generat fluctus pulcherrima dona.
At non Ancæum rectorem puppis aduncæ
Spes tua deſtituit circum, ſed obambulat errans
Nunc latus in leuum flexo temone, nec illic
Viſo aditu in dextram direxit lintea partem.
Tertia lux tandem perduxit in atria Circes
Lintea, tumq; loci petere interiora iubemus.
Nos quoq; nos læto iam littora poſcimus auſu.
Et denſis funes ſaxis conuoluimus, illinc
Emiſit ſocios, & quærere iuſſit Iaſon
An colat ignotas, ſemotaq; littora terras
Gens ulla, & mores hominum cognoſcere & urbē.
Verum illis propere uenientibus obuia ſolis

κούρη ὁμογνήτη μεγαλόφρονος αἰήταο
ἠελίου θυγάτηρ, κίρκην δέ ἑ κικλήσκουσι,
μήτηρ ἀστερόπη, καὶ τηλεφανὴς ὑπερίων,
ἦρα θοῶς ἐπὶ νῆα κατήλυθεν, ἐκ δ᾽ ἄρα πάντες
θάμβεον εἰσορόωντες, ἀπὸ κρατὸς γὰρ ἔθειραι
πυρσαῖς ἀκτίνεσσιν ἀλίγκιοι ἠώρηντο.
στίλβε δὲ καλὰ πρόσωπα, φλογὸς δ᾽ ἀπέλαμπεν ἀΰτμι
αὐτὰρ ἐπεὶ μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
λίην καλυπτομένην, ἑανῷ δ᾽ ἀμφέχε παρειὰς
αἰδομένη, χλωρὸν γὰρ ὑπὸ στέρνοις ἀνάχητο,
ἥν ποτ᾽ ἐποικτείρουσα προσηύδανε, καὶ φάτο κίρκη.
ὦ δειλὴ τίνα σοι κύπρις ὤπασε μοῖραν;
οὐ γάρ τοι λελάθεσθε ἅπερ ῥέξαντες ἵκεσθε
νῆσον ἐφ᾽ ἡμετέρην πανετώσιοι εἵνεκα πατρὸς
γηραιοῦ, κάσιόν τε, τὸν ἐκπάγλως ὀλέσαντε.
οὐδὲ γὰρ ὔμμε πάτρησιν ὀΐομαι ἆσσον ἱκέσθαι
εἰ σὺν ἀναγνίστοισιν ἀλιτροσύναις ἀκέοντες
μέσφ᾽ ὅταν ἐκνίψησθε μύσος θείοισι καθαρμοῖς
ὀρφέως ἰδμοσύνῃσι παρὰ κροκάλοισι μαλείης.
οὐδὲ γὰρ ἡμετέροιο δόμου θέμις οὖδον ἱκέσθαι
προστροπίους, τοίῳ γε λύγρῳ πεπαλαγμένοι ἐστέ.
ἀλλά μιν αὐτίκ᾽ ἐγὼ πρόφρων ξεινήϊα πέμψω
σῖτον, καὶ μέθυ λαρὸν ἔχειν, σὺν δὲ κρέα πολλά.
Ὣς εἰποῦσ᾽ ἄψορος ἀπέπτατο, νηὶ δὲ μέσῃ
δαιτός τ᾽, ἠδὲ ποτοῖο τετυγμένα τεύχε᾽ ἔκειτο.
ἂν δ᾽ ἄρ᾽ ἐπειγομένοισι θέεν λιγὺς οὖρος ἀήτης.

Filia, quam dicunt proprio de nomine Circen,
Affuit, Aeetæ iusto ſociata iugali,
Quam tulit Aſterope ſplendenti Hyperione mater.
Hæc igitur curſu ad puppim peruenit. at omnes
Inſpecta ſtupuere, pares de uertice ſummo,
Et radiis ſimiles ſpargebat nanq; capillos,
Emittens gratas ſplendenti corpore flammas.
Verum ubi Medeam tenui uelamine tectam
Inſpexit, nanq; illa genas perfuſa rubore
Velabat, uiridisq; dolor tunc corda premebat.
Sic fatur, gemitus natæ miſerata latentes,
O miſera, in quantos iecit te Cypria luctus,
Iam facinus ueſtrum non ulla aboleuerit ætas,
Quod ſenis huc profugos fruſtra genitoris ab ore
Nunc agit ob cæſi fratris crudeliter umbram.
Nam neq; uos patriis fas eſt ſuccedere tectis
Pollutos tetra peccati labe recentis,
Ni prius inuiſum Maleæ in littore iuſta
Purgetis per ſacra nefas, libamen & Orphei.
Atq; ideo noſtras nunquam uos uiſere terras
Credite turbatos tam tetro crimine ſordis,
Hoſpita dona tamen uobis ſtudioſa parabo,
Et panem, & multas carnes, & dulcia uina.
Sic ait. & retro conuerſa eſt. uaſa ſed ipſam
In mediam puppim potusq;, cibiq; feruntur.
Et tulit hinc uentus properos à puppe ſecundus.

καὶ τότε λυσάμενοι κείνης ἀπὸ πείσματα νήσου
κῦμα διαπρήσσοντες ἀνὰ στόμα τερνησσοῖο
ἱκόμεθα, στήλαισι δ' ἐπέλσαμεν ἡρακλέηος.
ἄκραις δ' ἀμφ' ἱεραῖσι διωνύσοιο ἄνακτος
μίμνομεν ἑσπέριοι, δαιτὸς γὰρ ἐδεύετο θυμός.
τῆμος γὰρ τελίαισιν ἐγείρετο φωσφόρος αἴγλη
ὄρθριοι εἰρεσίῃς γλαυκὴν ἐχαράξαμεν ἅλμην,
σαρδῷον δ' ἱκόμεσθα βυθόν, κόλπους τε λατίνων
νήσους τ' αὐσονίας, τυρρηνάς δ' ἱξόμεθ' ἀκτάς.
Αὐτὰρ ἐπεὶ λιλύβηον ἐπέχομεν ἠχέτα πορθμόν
τριγλώχινά τε νῆσον ἐπέχομεν ἐγκελάδοιο
αἰτναίη φλόξ σφιν ἄρ' ἐρκτύει μεμαῶτας,
δὴ τότ' ὑπὲρ πρώρης ὀλοὸν περιέζεεν ὕδωρ
νειόθεν, ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε χάρυβδις.
κύμασι καχλάζουσι, καὶ ἱστίον ἄκρον ἵκανε.
νῆα δ' ἄρ' αὐτόθι κατέσχεν ῥόος, οὐδέ μιν εἴα
προπροθέειν, οὐδ' αὐτίκα ἀναδύσεσθαι ὀπίσσω.
κοίλῳ ἐπὶ λυγρῷ δὲ περιστροφάδην ἀλάληκτο.
ἦ τάχα καὶ δύσεθ' ἀργὼ κατὰ βένθε' ἔμελλεν,
εἰ μὴ πρεσβύστη θυγάτηρ ἁλίοιο γέροντος
εὐρυβία πηλῆα πόσιν λελίητο ἰδέσθαι,
μειλιχίη δ' ἐκδῦτο βυθοῦ καὶ ῥύσατ' ὀλέθρου
ἀργῶαν ἄκατον, καὶ ὑπ' ἰλύος ἐξεσάωσε.
δὴ τότε οἱ πλώοντες ἐπέχομεν, οὐ μάλα τηλοῦ
προβλῆτα σκόπελον, πέτρη δ' ἐφύπερθεν ἀπορρὼξ
λισσοῖς χηραμόνεσσιν ἐπιθρώσκουσα βιᾶται

Soluimus hoc igitur tensos de littore funes,
Sulcantes fluctus Ternesia littora iuxta.
Mox & ad Herculeas peruenimus inde columnas.
At circum scopulos, atq; alta cacumina Baccho
Sacratos tenuere diu ieiunia tristes.
Tunc quoq; sol nitidum cum se proferret eous
Directo pelagus sulcamus remige glaucum.
Sardiniam hinc petimus tandemq́; sinusq; Latinos,
Et quos Ausonium, tyrrhenumq́; alluit æquor.
At freta Trinacriæ tua iam Lilybee tenentes
Aequora sentimus, flammamq́; per alta uidemus
Aetnæi Enceladi nobis infesta minantem.
Tum propere super insultans exæstuat unda,
Ebullens, altoq́; fremit torrente Charybdis.
Tunc etiam antennas inuasit gurgite uasto,
Sed puppim aduersus rapit hinc simul, & neq; cursũ
Ponè sequi, nec retro datur subducere nauim,
Gurgiteq; obducti iam circumuoluimur illo.
Tunc etiam præceps summergi cœperat Argò.
Hi ueneranda uirum senis inclyta nata marini
Viuentem optasset contingere Pelea magnum,
Blandaq́; de thalamis uenisset ad alta paternis,
Argoam & puppem cœno eduxisset ab imo.
Haud procul hinc uecti scopulo succedimus altum
In mare porrecto, geminis hinc inde recurrens

πόντον ἔσω, χαροπὸν δ' ἄρ' ὑποβρέμει ἔνδοθι κῦμα.

ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
κοῦραι, ἀνοστήτους τε βροτῶν θέλγουσιν ἀκουάς.
δή τότε δὴ μινύαισιν ἐφήνδανε πύστις ἀοιδῆς
σειρήνων, οὐδέ σφι παραπλώεσθαι ἔμελλον
φθογγὴν οὐλομένην, χειρῶν δέ οἱ ἧκαν ἐρετμά.
ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνόν,
εἰ μὴ ἐγὼ φόρμιγγα τιταινόμενος παλάμῃσι,
μητρὸς ἐμῆς ἐκέρασσ' εὐπρεπέα κόσμον ἀοιδῆς.
ᾔειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον,
ὥς ποτε οἱ δήρισαν ἀελλοπόδων ὑπὲρ ἵππων,
αὐτὰρ κυανοχαῖτα χολωσάμενος Διῒ πατρί.

τύψεν λυκτονίην γαίην χρυσῆνι τριαίνῃ,
καὶ ῥ' αἴγδην διεσκέδασεν κατ' ἀπείρονα πόντον
νήσους εἰναλίας ἔμεναι, τάς ῥ' ὀνόμηναν
σαρδῶ τ', εὔβοιάν τ', ἐπὶ δὲ κύπρον ἠνεμόεσσαν.
δή τότε φορμίζοντες ἀπὸ σκοπέλου νιφόεντος
σειρῆνες θάμβησαν, ἑὴν δ' ἄμπαυσαν ἀοιδήν.
καί ῥ' ἡ μὲν λωτούς, ἡ δ' αὖ χέλυν ἔκβαλε χειρῶν,
δεινὰ δ' ἀνεστονάχησαν, ἐπεὶ πότμος ἤϊε λυγρὸς
μοιριδίου θανάτοιο, σφέας δ' ἀπὸ ῥωγάδος ἄκρης
ἐς βυθὸν δίσκευσαν ἁλιρροθίοιο θαλάσσης,
πέτρας δ' ἠλλάξαντο δέμας, μορφὴν δ' ὑπέροπλον.
αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παράμειψε θέουσα

Vnda, repercusso resonat per littora saxo,
Fluctibus & gratæ ueniunt à cautibus auræ.
Illic mellifluam residentes ore puellæ
Dant uocem, redituq; carent per carmina nautæ.
Et iam tum Minyas inuasit gratia cantus
Sirenum, ualidisq; sonos transcurrere remis
Lethales mens nulla fuit, manibusq; remittunt.
Quinetiam Ancæus temonem ad littora uertit,
Ipse ego ni citharæ uersis in carmina cordis,
Quos mater docuit, misissem pectore cantus,
Pangebamq; modis suauem resonantibus hymnum
Vt quondam aëripedum causa certarit equorum
Iuppiter astrorum deus, & Neptunus aquarum,
Vtq; Lycaoniam terram deus æquoris aureo
Iratus fratri percusserit inde tridente,
Impulsuq; illo sese ostendere per alta
Aequora diuersa, quæq; insula nomine terræ
Sardinia, Eubœa, & Salamis, uentosaq; Cyprus.
Obstupuere nouo cantu de colle niuoso
Sirenes, uictæq; tacent, & carmine nostro
Et chelyn, & citharam, suspiria pectore ab imo
Ducentes, iecere manu, supremaq; lethi
Tempora fatalis ueniunt, & ab obice saxi
Præcipites sese in pelagus misere profundum.
Sed formam in petras, generosaq; corpora mutant.
Ergo ubi & hæc etiam cursu iam præterit Argò

ἀργὼ, κῦμα δὲ πόντου καὶ κόλπον ἵκανε
λαιψηροῖς πλήθουσα κατὰ προτόνων ἀνέμοισι,
κέρκυραν ζαθέην δ' ἐξίκετο, τήν σφιν ἔναιον
ἴδριες εἰρεσίης καὶ ἁλιπλάγκτοιο πορείης
φαίηκες, τοῖσι δ' ἄρ' ἐφημοσύνῃσι θέμιστας
ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων.
πείσματα δ' ἁψάμενοι πορσύναμεν ἱερὰ θέσθαι
ζηνὶ πανομφαίῳ, καὶ ἑῷ ἀκτίῳ ἀπόλλωνι,
ἐν δ' ἄρ' ὑπειρεσίῃσιν ἐπειγόμενοι φορέοντο
νηυσὶν ἀπειρεσίαις βριαρὸς λόχος αἰήταο
κόλχων ἐρραίνοντε, χαραδραίων, σολύμων τε,
διζόμενοι μινύας, τόφρ' ἂν μήδειαν ἄγοιντο
ὄψιν ἐς αἰήταο πατρὸς, τίσειε δ' ἀμοιβὰς
σφῇσιν ἀτασθαλίῃσιν ἀδελφεοῦ κταμένοιο.
ἀλλ' ὅτε δὴ κοίλου λιμένος μυχῷ ἄσσον ἵκοντο,
αἶψα δ' ἄρ' ἀλκινόοιο δόμον κήρυκες ἔβαινον,
μηδείης λύτρα χρῶσα, δέος δ' ὤχρειε παρειὰς,
μή οἱ ἑλὼν ἀέκουσαν, ἑὸν πέμψειε δόμονδε
φαιήκων βασιλεὺς, ἀνάπυστά τε ἔργα γένηται.
ἀλλ' οὔ οἱ τάδε μοῖρα τελεσσίνοος κατένευσε,
πρὶν δή τοι πελίαο δόμοις ἐπὶ λυγρὸν ὄλεθρον
αὐτῷ τε κρέοντι φέροι κακὸν οἶτον ἰήσων.
ἀλλ' ὅτε δὴ βασιλῆος ἀπηνέος ἔκλυεν αὐδὴν,
ἀρήτη ῥοδόπηχυς, ἰδ' ἀλκίνοος θεοειδής,
ἀλκίνοος μὲν ἔρ' ὧν ἐπετέλλετο κηρύκεσσι
κούρην ἀμφήριστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς

Naufragium,

Naufragium, latosq́; sinus petit æquoris alti.
Iamq́; per optatos producit carbasa uentos
Cercyreos petimus portus, ea tecta colebant
Artifices operum pelagi, puppisq́; regendæ
Phæaces, uirtute animi quibus inclytus heros
Imperat Alcinous regum iustissimus unus.
Subductis illinc de littore sacra ferebant
Funibus, ætherioq́; Ioui, & tibi Delphice Phœbe,
Cum subito in portum delati classe uehuntur
Remigio Aeetæ regis manus alta uirorum
Colchorum Errayonq́;, Charandæon, Solymonq́;,
Et Minyas quærunt, reddant sibi deinde ferendam
Medeam patris ante oculos, in Phaside cæsi,
Perferat ut meritas fratris pro sanguine pœnas.
Cum iam igitur portus intrassent stagna profundi.
Alcinoi poscunt præcones atria regis,
Medeæ genua ægra labant, pallorq́; timorq́;
Occupat, inuitam retrahant ne uincula Colchon.
Phæacum & faciat non ante audita tyrannus.
Sed non cuncta mouens fore iusserat ordine tali
Parca prius Peliæ quàm funestasset & aulam,
Regnantiq́; ipsi cædis foret autor Iason,
Arete Alcinoi clemens, formosaq́; coniunx.
Ipse autem Alcinous duci de puppe puellam,
Quam peterent Colchi tanto pro crimine sontem,

παρ' ἐμεῖο τίσεσθαι δίκην ἀλιτημοσυνάων,
ἀρήτη δ' ὤκτειρεν ἀγακλειτὴ βασίλεια
μείλιχα παρφαμένη δὲ τὸν ὃν πόσιν, ὧδ' ἀγόρευεν.
οὐ μὲν δὴ φίλον ἐστὶν ἀποστρέψασθαι ὅμιλον,
λέκτρα τε στορέσαι, λῦσαι τ' ἐκ πυρσὸν ἔρωτος.
θυμαίνει μάλα γάρ σφιν διωναίη ἀφροδίτη
ἀνδράσιν, ἠδὲ γυναιξὶν, ὅτις τάδε μήσεται ἔργα.
ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει,
οἰχέσθω πατρός τε δόμον, καὶ ἐς ἤθεα κόλχων.
εἰ δὲ καὶ νυμφιδίοις ὀάροις λέκτρῳ τε κλιθεῖσα
παρθενίην ἤχυνεν, ἕως πόσις ἄμμιν ἀγέσθω.
Ὣς ἔφατ'. ἀλκινόῳ δὲ περὶ φρένας ἤλυθε μῦθος,
καί ῥ' οὕτω τάδε πάντα τελευτήσεσθαι ἔμελλεν.
ἀλλ' οὐ οἱ βουλὴ μινύας λάθεν, αἶψα γὰρ ἥρη
δμωῇ δέμας εἰκυῖα, θοῶς φάτο, καὶ κατένευσε,
νηὸς ἐπὶ προθοροῦσα, τὰ οἱ μήδον ἄνακτες.
δὴ τότε μηδείην θαλάμων προσάγοντο λέκτρον
πρύμνῃ ἐπ' ἀκροτάτῃ, περὶ δ' ἐστορέσαντο χαμεύνας
ἀμφ' αὐτῇ, χρυσόδον ἐφαπλώσαντες ἄωτον.
Αὐτὰρ ἐπεὶ δοράτεσσιν ἐπαρτήσαντο βοείας,
τεύχεά τε, κρύπτον τε γάμων αἰδέσιμον ἔργον,
καὶ τότε παρθενίης νοσφίζετο κύριον ἄνθος
αἰνόγαμος μήδεια δυσαυνήτοις ὑμεναίοις.
αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
κόλχοι καὶ μινύαι, καὶ ἐμυθήσαντο ἕκαστοι,
ἐκ δ' ἔλαχ' αἰσονίδης ἄλοχον μήδειαν ἀγέσθαι

Restituiq; suo dicit debere parenti.
Sed mouit pietas reginæ uiscera mitis,
Admonuitq; uirum, blandis sermonibus usa.
Scilicet ô coniunx socii data fœdera lecti,
Haud dulce, & thalami iunctas diuellere flammas.
Et quoties quiuis hæc audeat, Alma Dione
Irruit, inq; uiros ultrix, irataq; matres.
Quod si uirgineum seruat non tacta pudorem,
Nauiget ad patrem, & patrios Medea penates.
At si concubitu fœdauit claustra iugali
Abdita, iure suo ducat quocunq; maritus.
Sic ait, ac regis uerba hæc præcordia tangunt,
Atq; ita cuncta suis statuit decernere dictis.
At Minyas non hæc latuit sententia, Iuno
Nam subito seruo assimilis deuecta per auras,
Nunciat arcanum reges quodcunq; locuti.
Tum subito thalamos Medea, thorosq; parare
Excelsa in puppi, circumq; aulæa coruscant,
Velleraq; affixis dependent aurea setis.
Postquàm igitur fulcris nituere cubilia lautis,
Coniugiiq; pares flammæ subire latentes,
Tunc iam uirginei florem Medea decoris
Tristibus infelix hymenæis nupta reliquit.
Hinc ubi magnanimi regis subiere tribunal
Colchiq; & Minyæ, quicquid uoluere locuti,
Traditur Alcinoi decreto iam sua coniunx

ἀλκινόου, τοὶ δ᾽ ὦκα λύοντ᾽ ἐκ πείσματα νηός.
Δὴ τόθ᾽ ὑπ᾽ εἰρεσίῃσι θέεν πολυηγόρος ἀργὼ
ἀμπρακίου κόλποιο διαπρήσσουσα κέλευθα.
ἔνθα τί σοι μουσαῖε θεηγενὲς ἐξαγορεύσω,
ὅσσ᾽ ἔπαθον μινύαισιν ὁμοῦ ποτὶ σύρτιν ἀκταῖς,
ἢ πῶς ἐξεσάωθεν ἁλιπλάγκτοιο πορείης,
ὅσσα τ᾽ ἄρ᾽ ἐν κρήτῃ πάθον ἄλγεα τετληῶτες
χάλκειον τριγίγαντα δοκεύμενοι, ὄφρ᾽ ἱκόμεσθα,
ὅς ῥά οἱ οὐκ εἴα λιμένων ἔντοσθεν ἱκέσθαι,
ἠδ᾽ ὡς στεινόμενοι βαρυηχέϊ κύματι πόντου
ῥίμφά τε κυανέῃσι βαρυνόμενοι νεφέλῃσιν,
ἠλπόμεθα σκοπέλοισι μαλαινείοισιν ἱκέσθαι
νῆα θοήν. παιὰν δ᾽ ἄρ᾽ ἑκηβόλος ἀγχόθεν αἰὲν
δήλου ἀπὸ κραναῆς ἧκεν βέλος, ἐκ δ᾽ ἀνέφηνε
μεσσατίων σποράδων, κραναὴν δέ ἑ πάντες ὀπίσσω
νῆσον ἐπικλήσκουσι περικτίονες ἄνθρωποι.
ἀλλ᾽ οὔ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἔρξαι
αἰσονίδην. περὶ γάρ ῥα λύτρον φέρεν. ἀλλὰ δ᾽ ὀπίσσω
μοῖρ᾽ ὀλοή, κόπερ ἂν ἐπιφραδέως ὑπερίων.
ἀλλ᾽ ὅθ᾽ ὑπ᾽ εἰρεσίῃς μαλεώτιδας ἱκόμεθ᾽ ἄκρας,
κίρκης ἐννεσίῃσιν ἀπορρίψεσθαι ἔμελλον,
ἀρὰς αἰήτεω καὶ ἠλιτόποινον ἐριννύν.
Δὴ τότ᾽ ἐγὼ μινύαισιν ἐφ᾽ ἱερὰ λύτρα καθαρμῶν
ῥέξα, καὶ ἐλλισάμην γαιήοχον ἐννοσίγαιον,
νόστον ἐπεὶ γομφίοις δόμεναι γλυκερούς τε τοκῆας.
καί ῥ᾽ οἱ μὲν πλώοντες εὐκτιμένην ἐπ᾽ ἰωλκὸν

Aeſonidæ, ſoluunt Minyæ de littore puppem,
Ocyus & remis ſtridens propellitur Argò,
Ambraciiq; ſinus celeri ſecat æquora curſu.
Hic tibi quid Muſæe canam memorande labores,
Quos dederint iunctæ cum Syrtibus uſq; procellæ,
Et Minyæ incolumes quantis erroribus acti,
Quinetiam quantos incuſſit Creta dolores,
Aereus ut Trigigas acceſſu horrendus in ipſo
In portum uetuit Minyas ſubducere puppem,
Vt tandem æquoreis uexati tempore longo
Fluctibus, ac ſubito triſti male nube grauati
Credidimus nauem quoties allidere ſaxis?
At Pæan lucem per nubila ſæua coruſcam
Montibus è ſummis ſuperintulit, inde repente
Ex multis quæ nos claudebant, inſula uiſa eſt,
Quam Cranaën dicunt, loca qui uicina frequētant.
At non Aeſonidæ quamuis contingere terram
Parte licet, redimendus enim defertur, at illum
Mors auerſa fugit, uis tanta Hyperionis iræ.
Aſt ubi tranſuecti Maleotidos alta tenemus
Admonitu Circes purgent ubi ſacra, rogatus
Infauſtum Aeetes, quicquid'ue ingeſſit Erinnys.
Tunc ego ſacrorum Minyis libamina pulchra
Struxi, & Neptunnum ſuprema uoce rogaui
Det reditum feſſis, dulcesq; uidere parentes.
Illi igitur uentis acti referuntur Iolcon

θάσσον. ἐγὼ δ' ἱκόμην ἐπὶ ταίναρον ἠνεμόεντα,
ὄφρα κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν,
οἵ τ' ἄρα νερτερίων βερέθρων κληῖδας ἔχουσιν.
ἔνθεν δ' ὁρμηθεὶς, ἐσύθην χιονώδεα θρήκην,
λειβήθρων ἐς χῶρον, ἐμὴν ἐς πατρίδα γαῖαν.
ἄντρον δ' εἰσεπέρησα περικλυτὸν, ἔνθα με μήτηρ
γείνατ' ἐν λέκτροις μεγαλήτορος οἰάγροιο.

ΤΕΛΟΣ.

In patriam. sed fronde uirens me Tænarus alta
Excipit, ut referam magnis sacra regibus Orci,
Vasta quibus parent immensi claustra barathri.
Inde celer petii Thracen per summa niuosam
Libethras gaudens terram tetigisse paternam.
Hic antrum subii peramabile, protulit hic me
Magnanimi in lectis Oeagri splendida mater.

FINIS.

BASILEAE, IN AEDIBVS ANDREAE
CRATANDRI, MENSE IVNIO.
ANNO DOMINI
M. D. XXIII.

1869932

